INDEX SCHOLARVM

IN

VNIVERSITATE LITTERARIA GRYPHISWALDENSI

PER SEMESTRE AESTIVVM

ANNI MDCCCLXXXVIII

A DIE XV MENSIS APRILIS

HABENDARVM.

INEST

ERNESTI MAASS DE ATTALI RHODII FRAGMENTIS ARATEIS COMMENTATIO.

GRYPHISWALDIAE

TYPIS FRID. GVIL. KVNIKE

MDCCCLXXXVIII.

VNIVERSITATIS LITTERARIAE GRYPHISWALDENSIS

RECTOR

FRANCISCVS HVGO SCHWANERT

CVM

CONCILIO ACADEMICO

S. D.

CIVIBVS ACADEMICIS.

Rhodiorum rempublicam inde a tertio ante Chr. saeculo studiis philologicis floruisse cum in universum constet, sunt tamen singillatim pauca ad nos de hac re antiquitus propagata. Si minus incensus ille harum litterarum amor adauctus certe est ab Alexandrino Apollonio Callimachi et discipulo et aemulo, cum urbe relicta in hac insula poeticae arti et grammaticae operam daret essetque simul instituendis adolescentibus biographo teste feliciter occupatus. Accessit ad Alexandrinam disciplinam ab Apollonio invectam saeculo post Pergamena ratio. Nam Panaetius philosophus, Rhodiarum litterarum id temporis princeps, qui Polemonem Iliensem inter philologos Pergamenos nobilissimum habuisset praeceptorem, scriptis suis adsecutus est, ut iure etiam in nostra arte excellens vel hodie consensu summo iudicetur. Et cum crisin Aristarcheam Aristarcheus Dionysius, natione Thrax, Alexandria profugus praeclaro successu doceret, novo hoc nomine haec litterarum sedes tunc temporis effloruit. Illud tempus nunc mittimus, quoniam, qui idem dicitur Rhodius vixitque Rhodi, Attalus (fr. 29 et 24 syllogae nostrae), cui hic libellus dicatus est, fuit ante Dionysium Aristarchi ipsius potius et Panaetii et Hipparchi, cuius aetatem ex quibusdam siderum observationibus definiverunt astronomi velut Delamberius *l'hist. de l'astr.* I p. XXI et 106 sqq., fere coaevus (fr. 2).

Perquam pauca dixi de studiis Rhodiorum philologicis esse singillatim tradita. Composuit rara Panaetii frustula ex hoc litterarum genere profecta in dissertatione de Panaetio anno 1802 emissa Van Lynden Batavus, unde in fragmentis Panaetii et Hecatonis Bonnae 1885 conlectis Fowlerus hausit (fr. 44—55); de Apollonio nonnulla Weichertus (*Ueber das Leben und Gedicht des Apollonius von Rhodus* p. 91 sqq.) anno

1821 disputavit: Rhodius Attalus, qui — ut duobus saeculis post eadem in insula Thrasyllus — non modo mathematicus et astronomus (fr. 2 et 22) verum etiam grammaticus esset, non praeminens ille quidem sed nequaquam contemnendus (fr. 2), quamvis larga de eo quaerendi suppetat copia, neminemdum ne ipsa copia quidem allexit. Quid? quod a Schneiderwirthio, qui anno 1868 de Rhodiorum litteris exposuit (*Geschichte der Insel Rhodos* p. 183 sqq.), vel nomen Attali ignoratur? Qua re quoniam renovare viri memoriam utile videbatur et periucundum: quascunque invenire potui reliquias infra congessi. Cumque omnia fere quae quidem certa sunt in Hipparchi astronomi de Phaenomenis Arati libro reperiantur, non posse patet fragmentorum Attali recensionem a crisi in Hipparcheo opere exercenda seiungi. Quod opus postquam a Petro Victorio anno 1567 Florentiae editum est et repetitum novis subsidiis criticis vix adsumptis a Petavio Francogallo in Uranologio a. 1630 Parisiis et haec Petaviana editio anno 1857 in Mignei patrologiae cursus completi serie graeca (vol. XIX p. 1001—1136) post Eusebium, ubi nemo quaesiverit, iterata: plane neglectum iacuit et a studiis nostris semotum. Itaque primum de Hipparchi codicibus quos selegi dicendum est, sed paucis.

1. Codicum Hipparcheorum antiquissimus est L(aurentiamus) XXVIII 39 membranaceus s. XI inde a folio 40, ad quem olim se edidisse hunc scriptorem Victorius dicit ipse in praefatione dixeratque antea iam anno 1566 in epistula ad Andream patricium epistularum Victorii editioni Iuntinae 1588 Florentiae procuratae inserta p. 136 his verbis:

> *volo Tibi narrare me habere in animo volumen quoddam Hipparchi Bithyni edere, magni illius astrologi, cuius tantum nomen est apud veteres omnes et graecos et latinos scriptores, qui aliquid aliquando attigere quod faciat ad scientiam siderum aut orbis terrae descriptionem. Quod volumen tres libros continens latet in thesauris Mediceae bibliothecae.*

P. 150 et 152 'epistularum' de editione ipsa et de versione latina quam paraturus erat exponit. Comparato cum Victorii editione codice res per se certa firmatur: Victorius enim ipse manu sua saepenumero menda tinctura flava correxit.

2. V(aticanus) graec. 191 bombycinus s. XIV, de quo accuratius in Analectis Eratosthenicis p. 10 sq. disserui. Praefatur Victorius se usum esse etiam hoc libro Florentiam transmisso ad emendanda Laurentiani vitia et lacunas supplendas. Ego rationem utendi invertendam esse putavi neque a Vaticano discessi nisi argumentis ductus aut certis aut ex mea sententia probabilibus, quia accuratiorem frequenter et meliorem hunc, illum etsi utilem persaepe nihilo tamen secius si summam facias peioris notae esse expertus sum. A prima manu in utroque libro altera discernenda est correctrix, cuius mutata subtili iudicio pensitanda sunt. Tertiam esse manum Victorii didici, qui alterum codicem ex altero emendare studeret: quae omnia diligenter enotavi.

3. Ceteros Hipparchi codices integros quos viderim ex altero utro esse derivatos conferendo mihi perspexisse videor. Eximendi fortasse sunt ii, qui tertium tantum librum Hipparchi complectuntur: Laurentianus XXVIII 44 chart. s. XV, Ambrosianus H 139 inf. saec. XV, de quo conferas Analecta mea Eratosthenica p. 38 sq, fol. 295 sqq., Butlerianus Musei Britannici Add. 11,886 chart. s. XV—XVI fol. 51ᵃ. Codices integros novi hosce:

I. Vaticanum graec. 381 chart. s. XV ex V descriptum.
II. Parisinum 2379 chart. s. XV—XVI ex V descriptum.
III. Parisinum 2386 chart. s. XVI ex V descriptum.
IV. Parisinum suppl. graec. 328 s. XV olim Henrici Stephani, ex L descriptum.
V. Bodleianum Selden. 17 s. XVI chart. ex V descriptum.

Haec de Hipparchi codicibus.

Ordinem operis Hipparchei in mea ATTALEORUM sylloga ita immutavi, ut proxime ad veritatem accedere mihi posse videbar. Itaque deserto Hipparcho et rationi parui et ad Arati dispositionem fragmenta numeravi. Denique sciatur, Hipparcheae editionis a Migneo curatae paginas nullo signo addito loco priore, posteriore P(etavianam) me in sylloga uncis inclusam citasse.

II.

1. prooemium editionis commentario iunctae

HIPPARCH. I c. 4 p. 1013 A (178 P.) ὅτι μὲν οὖν Εὐδόξῳ ἐπακολουθήσας ὁ Ἄρατος συντέταχε τὰ Φαινόμενα, ἱκανῶς οἶμαι δεικνύναι διὰ τῶν προειρημένων. ἐν οἷς δὲ διαπίπτουσιν οὗτοί τε καὶ οἱ συνεπιγραφόμενοι αὐτοῖς, ὧν ἐστι καὶ ἍΤΤΑΛΟΣ, νῦν ὑποδείξομεν· ἐκθησόμεθα δὲ εὐθέως καὶ ἐν οἷς ἰδίᾳ ἕκαστος αὐτῶν διαμαρτάνει. προ-
5 ληπτέον δέ, διότι ἍΤΤΑΛΟΣ πᾶσι σχεδὸν τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις περὶ τῶν οὐρανίων συνεπιγράφεται ὡς συμφώνως τοῖς φαινομένοις ὑπ' αὐτοῦ λεγομένοις, πλὴν ἐφ' ἑνὸς καὶ δευτέρου, ἃ δὴ καὶ ὑποδείξομεν ἐν τοῖς ἑξῆς (cf. fr. 5, 14, 16, 17, 22)· λέγει γοῦν ἐν τῷ προοιμίῳ τὸν τρόπον τοῦτον·

> διὸ δὴ τό τε τοῦ Ἀράτου βιβλίον ἐξαπεστάλκαμέν σοι διωρθωμένον ὑφ' ἡμῶν
> 10 καὶ τὴν ἐξήγησιν αὐτοῦ, τοῖς τε φαινομένοις ἕκαστα σύμφωνα ποιήσαντες καὶ τοῖς ὑπὸ τοῦ ποιητοῦ γεγραμμένοις ἀκόλουθα.

καὶ πάλιν ἑξῆς φησιν·

> τάχα δέ τινες ἐπιζητοῦσι τίνι λόγῳ πεισθέντες φαμὲν ἀκολούθως τῇ τοῦ ποιητοῦ προαιρέσει τὴν διόρθωσιν τοῦ βιβλίου πεποιῆσθαι. ἡμεῖς δ' ἀναγκαι-
> 15 οτάτην αἰτίαν ἀποδίδομεν τὴν τοῦ ποιητοῦ πρὸς τὰ φαινόμενα συμφωνίαν.

τοιαύτην οὖν ἔχοντος τοῦ ἍΤΤΑΛΟΥ τὴν διάληψιν, ὅσα ἂν ἀποδεικνύωμεν τῶν ὑπὸ τοῦ

Ἀράτου καὶ Εὐδόξου κοινῶς λεγομένων διαφωνοῦντα πρὸς τα φαινόμενα, δεῖ διαλαμβάνειν καὶ τὸν ἌΤΤΑΛΟΝ περὶ τῶν αὐτῶν διημαρτημένως συναποφαινόμενον.

[2] δεικνῦναι LV ‖ [3] Ἄ. V: ὁ Ἄ. L ‖ Ἄτταλλος V ‖ [4,5] προληπτέον L: προδιαληπτέον V ‖ [5] Ἄτταλλος V ‖ [7] ἑξῆς V: ἐφεξῆς L ‖ [9,13] Attali verba ab Hipparcheis distinxit L ‖ [14] δ' V: δὲ L ‖ [15] τοῦ ποιητοῦ add. L: om. V ‖ πρὸς τὰ φαινόμενα add. V: om. L

2. commentarii indoles

Hipparch. I p. 1004 A (p. 172 P.) in epistula ad Aeschrionem fratrem praemissa: ἐξήγησιν μὲν οὖν τῶν Ἀράτου Φαινομένων καὶ ἄλλοι πλέονες συντετάχασιν, ἐπιμελέστατα δὲ δοκεῖ πάντων ἌΤΤΑΛΟΣ, ὁ καθ' ἡμᾶς μαθηματικός, τὸν περὶ αὐτῶν πεποιῆσθαι λόγον· ἀλλὰ τὸ μὲν ἐξηγήσασθαι τὴν ἐν τοῖς ποιήμασι διάνοιαν οὐ μεγάλης ἐπιστροφῆς προσδεῖσθαι νομίζω — ἁπλοῦς τε γὰρ καὶ σύντομός ἐστι ποιητής, ἔτι δὲ σαφὴς τοῖς καὶ μετρίως παρηκολουθηκόσι — τὸ δὲ συνεῖναι τὰ λεγόμενα περὶ τῶν οὐρανίων ὑπ' αὐτοῦ, τίνα τε συμφώνως τοῖς φαινομένοις ἀναγέγραπται καὶ τίνα διημαρτημένως, τοῦτ' ὠφελιμώτατον 'γήσαιτ' ἄν τις καὶ μαθηματικῆς ἴδιον ἐμπειρίας. θεωρῶν δ' οὖν τοῖς πλείστοις καὶ χρησιμωτάτοις διαφωνοῦντα τὸν Ἄρατον πρὸς τὰ φαινόμενά τε καὶ γινόμενα κατὰ ἀλήθειαν, τούτοις δὲ ἅπασι σχεδὸν οὐ μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν ἌΤΤΑΛΟΝ συνεπιγραφόμενον ἔκρινα τῆς σῆς ἕνεκα φιλομαθίας καὶ τῆς κοινῆς τῶν ἄλλων ὠφελείας ἀναγράψαι τὰ δοκοῦντά μοι διημαρτῆσθαι. τοῦτο δὲ ποιῆσαι προεθέμην οὐκ ἐκ τοῦ τοὺς ἄλλους ἐλέγχειν φαντασίαν ἀπενέγκασθαι προαιρούμενος — κενὸν γὰρ καὶ μικρόψυχον παντελῶς· τοὐναντίον δὲ δεῖν οἴομαι πᾶσιν ἡμᾶς εὐχαριστεῖν, ὅσοι τῆς κοινῆς ἕνεκεν ὠφελείας ἰδίᾳ πονεῖν ἀναδεχόμενοι τυγχάνουσιν — ἀλλ' ἕνεκα τοῦ μήτε σὲ μήτε τοὺς λοιποὺς τῶν φιλομαθούντων ἀποπλανᾶσθαι τῆς περὶ τὰ φαινόμενα κατὰ τὸν κόσμον θεωρίας· ὅπερ εὐλόγως πολλοὶ πεπόνθασιν.

[2] ἐξήγησιν corr. Petavius, cf. p. 1004 C καὶ πάντες σχεδὸν οἱ τὸν ποιητὴν τοῦτον ἐξηγούμενοι προστίθενται τοῖς ὑπ' αὐτοῦ λεγομένοις: ζήτησιν LV ‖ πλέονες V: πλείονες L ‖ [3] ἌΤΤΑΛΟΣ corr. Petavius: αὐτὸς LV ‖ αὐτῶν L: αὐτοῦ V ‖ [5] προσδεῖσθαι V: δεῖσθαι L ‖ [9] τε V: om. L ‖ [10] δὲ V: δ' L ‖ [11] συνεπιγραφόμενον V: om. L ‖ [11,2] τῶν ἄλλων V: om. L ‖ [13] τοῦ V et corr. L, cum prius scripsisset τὸ ‖ [14] δὲ V et superscripsit L ‖ [15] ἰδίᾳ L: ἴδια V ‖ [16] φιλομαθούντων V: φιλομαθῶν L

3. idem

Hipparch. I p. 1005 A (p. 173 P.) χωρὶς δὲ τῶν ἠγνοημένων ἐν τοῖς φαινομένοις ὑπό τε Εὐδόξου καὶ τοῦ Ἀράτου καὶ τοῦ συνεπιγραφομένου ταῖς φάσεσιν αὐτῶν ἀναγέγραφά σοι καὶ τὰς κατ' ἀλήθειαν γινομένας ἑκάστου τῶν ἀπλανῶν ἄστρων σὺν αὐτοῖς τοῖς κατηστερισμένοις ιβ' ζῳδίοις συνανατολὰς καὶ συγκαταδύσεις, ἵνα

5 παρακολουθῶν ἑκάστοις ἀκριβῶς καὶ τὰς τῶν ἄλλων ἁπάντων ἀποφάσεις ἐν τούτοις δοκιμάζῃς.

[2] significari Attalum cum ceteris tum fr. 1 et 2 efficitur ‖ συνεπιγραφομένου V: ἐπιγραφομένου L ‖ [4] κατηστερισμένοις L: κατηστηρισμένοις V ‖ ζῳδίοις L: ζωδίοις V, et ita saepe

4. Draco

Hipparch. I c. 6 p. 1017 A (p. 180 P.) ἔτι δὲ ἀγνοεῖ περὶ τοῦ Δράκοντος (Aratus) λέγων οὕτως (v. 58—60)·

„λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
ἄκρην εἰς Ἑλίκης οὐρήν· μάλα δ' ἐστὶ κατ' ἰθὺ
5 καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ“.

οὐ γὰρ ὁ δεξιὸς κρόταφος ἀλλ' ὁ ἀριστερὸς ἐπ' εὐθείας ἐστὶ τῇ γλώσσῃ τοῦ Ὄφεως καὶ τῇ ἄκρᾳ οὐρᾷ τῆς μεγάλης Ἄρκτου. τὸ μὲν γὰρ λέγειν, ὅτι ἀντεστραμμένην τὴν κεφαλὴν τοῦ Δράκοντος ὑποτίθεται καὶ οὐχὶ εἰς τὰς ἐντὸς τοῦ κόσμου ἐπεστραμμένην, καθάπερ φησὶν ὁ ἌΤΤΑΛΟΣ, τελέως ἐστὶν ἀπίθανον· πάντα γὰρ τὰ ἄστρα ἠστέρισται πρὸς τὴν 10 ἡμετέραν θεωρίαν καὶ ὡς ἂν πρὸς ἡμᾶς ἐστραμμένα, εἰ μή τι κατάγραφον αὐτῶν ἐστιν. φανερὸν δὲ τοῦτο ποιεῖ καὶ ὁ Ἄρατος διὰ πλειόνων· ἐφ' ὧν γὰρ δεξιὸν ἢ ἀριστερὸν μέρος ἄστρου διασαφεῖ, ἐπὶ πάντων συμφωνεῖ τῇ προειρημένῃ ὑποθέσει. καὶ ἄλλως δὲ πλασματώδης ἐστὶν ἡ ὑπόθεσις καὶ ἡρμοσμένη· πρὸς τούτῳ γὰρ τῷ ἀγνοήματι βοηθήσει καὶ τῷ περὶ τὸν ἀριστερὸν πόδα τοῦ Ἐν γόνασιν, περὶ οὗ προελθόντες ἐροῦμεν (fr. 6).

[4] Ἑλίκης V Marcianus Arati 476, de quo *Herm.* XIX (1884) p. 92—122 exposui: Ἑλίκην L ‖ μάλιστα δ' ἐστὶ Marcianus Arati ‖ [6] καὶ V: om. L ‖ [7] οὐρᾷ V: om. L ‖ [8] ἐπεστραμμένην V: ἀντεστραμμένην L ‖ [9] πάντα V: ἅπαντα L ‖ ἠστέρισται L: ἡμερίσθαι V[1], ἡμέρισται V[3] ‖ [10] εἴ τι coni. Petavius, at cf. de voce κατάγραφον G. Hermanni Opusc. V p. 214 ‖ [13] post ἡρμ. addit καὶ L: om. V ‖ πρὸς V: om. L ‖ γὰρ scripsi: τε LV ‖ βοηθήσει scripsi: βοηθήσειεν L, βοηθήσαιεν V ‖ τῷ V: τὸ L ‖ [14] Ενγόνασιν V: Ἐνγούνασιν L

5. idem

Hipparch. I c. 6 p. 1017 B (p. 181 P.) περὶ δὲ τῆς θέσεως τῆς τοῦ Δράκοντος κεφαλῆς οἱ μὲν περὶ τὸν Εὔδοξον καὶ Ἄρατον συμφώνως ἀποφαίνονται τῷ φαινομένῳ, ὁ δὲ ἌΤΤΑΛΟΣ διαφώνως· ὁ μὲν γὰρ Ἄρατος ἀκολουθῶν τῷ Εὐδόξῳ ἐπὶ τοῦ ἀεὶ φανεροῦ κύκλου φησὶν αὐτὴν φαίνεσθαι λέγων οὕτως (v. 61,2)·

5 „κείνη που κεφαλὴ τῇ νίσσεται, ἧχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν“,

ὁ δὲ ἌΤΤΑΛΟΣ μικρῷ νοτιωτέραν αὐτὴν εἶναί φησι τοῦ ἀεὶ φανεροῦ κύκλου, ὥστε αὐτὴν ὑπὸ τὸν ὁρίζοντα βραχὺν γίνεσθαι χρόνον. ὅτι δὲ διαφωνεῖ πρὸς τὸ φαινόμενον ὁ ἌΤΤΑΛΟΣ, οὕτως ἂν ἐπιλογισθείη. ὁ μὲν γὰρ ἐν ἄκρῳ τῷ στόματι τοῦ Δράκοντος ἀπέχει

τοῦ πόλου μοίρας λδ´ καὶ γ´ πεμπτημόρια, ὁ δὲ νότιος αὐτοῦ ὀφθαλμὸς μοίρας λέ, ὁ δὲ 10
νότιος κρόταφος μοίρας λζ´, ὁ δὲ ἀεὶ φανερὸς κύκλος ἐν τοῖς περὶ Ἀθήνας τόποις καὶ
ὁ γνώμων ἐπίτριτός ἐστι τῆς ἰσημερινῆς σκιᾶς καὶ ἀπὸ τοῦ πόλου ἀπέχει περὶ μοίρας
λζ. δῆλον οὖν, ὅτι ἀεὶ ἐν τῷ φανερῷ τόπῳ φέρεται ἡ κεφαλὴ τοῦ Δράκοντος τὸν
ἀριστερὸν κρόταφον μόνον ἔχουσα ἐπ᾽ αὐτοῦ, καὶ οὐχ, ὡς ὁ ἌΤΤΑΛΟΣ φησι, νοτιωτέρα
οὖσα δύνει βραχὺν χρόνον καὶ ἀνατέλλει. 15

[1] τῆς posterius L in margine et V || [2] τὸν V: om. L || [2,3] τῷ φαινομένῳ V: τὰ φαινόμενα L || [3] διαφώνως V: διαφωνεῖ L || [4] ἀεὶ V: om. L || [5] κείνη που κεφαλὴ τῇ νίσσεται Marcianus Arati: κείνη που κεφαλῆ τηνείσεται (ΐ ad ει superscripto) V, κείνη παρ κεφαλῆ τῇ νείσεται L || [6] μίσγονται LV[3]: μίγονται V[1] || δύσιές τε V Marcianus Arati: δύσις ἐστὶ L || ἀντολαὶ L Marcianus Arati: ἀνατολαί V || [10] μοίρας λδ´ V: μ (superscripto ο) λϛ´ L || μοίρας V: μ superscripto ο L || [12] καὶ L: om. V || μοί V, μ superscripto ο L || [13] ἀεὶ V: om. L

6. Ingeniculus

Hipparch. I c. 7 p. 1017 D (181 P.) ἐπὶ δὲ τοῦ Ἐν γόνασι παρεωρακέναι μοι
δοκοῦσιν ὅ τε Εὔδοξος καὶ ὁ Ἄρατος, ἀλλ᾽ οὐ διημαρτηκέναι, εἰπόντες τὸν δεξιὸν πόδα
ἐπὶ μέσης τῆς κεφαλῆς τοῦ Δράκοντος κεῖσθαι. ὁ μέντοι γε ἌΤΤΑΛΟΣ παρὰ τὸ βούλημα
τοῦ ποιητοῦ δοκεῖ μοι τὸ ἡμιστίχιον μετατιθέναι γράφων οὕτω (v. 69) „μέσσου δ᾽
ἐφύπερθε καρήνου“ καὶ τὴν κεφαλὴν τοῦ Δράκοντος ἔξω τοῦ κόσμου στρέφων, ἵνα 5
γένηται αὐτὸ ‚τὸ δεξιὸν μέρος τῆς κεφαλῆς κατὰ τὸν πόδα‘· τά τε γὰρ ἄστρα πάντα εἰς
τὸ ἐντὸς τοῦ κόσμου μέρος ἐπεστραμμένα, ὡς ἔφην (cf. fr. 5), ἀστροθετεῖται ὑπὸ πάντων
καὶ ὑπ᾽ αὐτοῦ τοῦ Ἀράτου καὶ ἐν πᾶσι τοῖς βιβλίοις γράφεται (v. 69, 70)

„μέσσῳ δ᾽ ἐφύπερθε καρήνῳ
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο < Δράκοντος >.“ 10

Cf. *Herm.* l. c. p. 107.

[1] Ἐνγούνασι LV, cf. fr. 4 || [4] μέσσου L: μέσου V || [5] ἐφ᾽ ὕπερθε LV Marcianus Arati || [4,5] μέσσῳ et καρήνῳ Marcianus Arati || [9] μέσῳ LV || ἐφ᾽ ὕπερθε V

7. Anguitenens

Hipparch. I c. 8 p. 1021 B (p. 183 P.) δοκεῖ δέ μοι (Aratus) καὶ περὶ τῶν
ἐν ταῖς χερσὶ τοῦ Ὀφιούχου ἀστέρων κατὰ τὸ μέγεθος αὐτῶν ἀγνοεῖν· τοὺς γὰρ ἐν τοῖς
ὤμοις τοῦ Ὀφιούχου φήσας λαμπροὺς εἶναι, ὥστε καὶ ἐν πανσελήνῳ ἂν θεωρεῖσθαι, ἐπιφέρει
(v. 79, 80)·

„ἀτὰρ χέρες οὐ μάλα ἶσαι· 5
λεπτὴ γὰρ τῇ καὶ τῇ ἐξεπιδέδρομεν αἴγλη.“

ἀλλ᾽ οἱ ἐν ταῖς χερσὶ τοῦ Ὀφιούχου ἀστέρες κοινοί εἰσι καὶ τοῦ Ὄφεως, καθάπερ καὶ
αὐτὸς ὁ Ἄρατος λέγει (v. 82)

„ἀμφότεραι δ' Ὄφιος πεπονείαται."

10 οἱ δ' ἐν τῷ Ὄφει ἀστέρες, ὧν ἔχεται ὁ Ὀφιοῦχος, λειπόμενοί εἰσι τῇ λαμπρότητι τῶν ἐν τοῖς ὤμοις, οὐ πολλῷ δὲ λαμπρότεροι οἱ ἐν τοῖς ὤμοις. διὸ καὶ ἀπορήσειεν ἄν τις, πῶς καὶ ὁ ἌΤΤΑΛΟΣ φησιν αὐτοὺς ἱκανῶς λαμπροὺς εἶναι.

[2] αὐτῶν V: αὐτοῦ L ‖ [3] ἂν V: om. L ‖ [5] χέρες V: χεῖρες Marcianus Arati, χερσ' L ‖ μάλα ἶσαι V: μάλ' ἶσαι Marcianus Arati, μάλ' ἔισαι L ‖ [6] τῇ prius L Marcianus Arati: om. V ‖ ἐξεπιδέδρομεν V: ἐπιδέδρομεν L Marcianus Arati ‖ [8] αὐτὸς ὁ V: ὁ αὐτὸς L ‖ [9] ἀμφότεραι Marcianus Arati: ἀμφότεροι LV ‖ ὄφιος L Marcianus Arati: ὄφεως V ‖ [10] ἔχεται V: ἔχει L ‖ [10,1] οὐ ante λειπόμενοι scriptum in LV: traieci ‖ [11] καὶ ἀπορήσειεν scripsi, cf. fr. 13 et 23: καὶ ἐπιστήσειεν V, κατεπιστήσειεν L

8. Cholae

Hipparch. I c. 9 p. 1021 B (p. 183 P.) ἑξῆς δὲ περὶ τῶν Χηλῶν ὁ Ἄρατος λέγει (v. 90)

„ἀλλ' αἳ μὲν φαέων ἐπιδευέες οὐδὲν ἀγαυαί."

φησὶ δὲ ὁ ἌΤΤΑΛΟΣ μὴ διὰ τὸ μικροὺς εἶναι τοὺς ἐν ταῖς Χηλαῖς ἀστέρας λέγειν τὸν 5 Ἄρατον „φαέων ἐπιμεμφέας" αὐτὰς εἶναι, ἀλλὰ διὰ τὸ δ' μόνον εἶναι τοὺς πάντας, οὓς μὴ συμπληροῦν τὴν ὁμοιότητα αὐτῶν· τὸ δὲ „μηδὲν ἀγαυάς" λέγειν αὐτὸν διὰ τὸ μηδὲ ὁμοίας αὐτὰς ὑπάρχειν. οὐ δοκεῖ δέ μοι διὰ τοῦτο λέγειν αὐτὰς „φαέων ἐπιμεμφέας" καὶ „μηδὲν ἀγαυάς", ἀλλ' ὡς ἂν μὴ λαμπράς.

Adparet igitur legisse Hipparchum in Arato suo „ἐπιδευέες", Attalum „ἐπιμεμφέες". Ex hac discrepantia explicandum est quod interpolatum ἢ ἐπιμεμφέες linea 3 reperimus, ubi cf. adn. Corrigantur hinc quae *Herm.* XIX p. 113 sq. de hoc loco minus recte disserui.

[3] ἀλλ' αἱ μὲν V Marcianus Arati: ἄλλοι μὲν L ‖ post ἐπιδευέες add. LV ἢ ἐπιμεμφέες: omisi ut Marcianus Arati ‖ [4] φησὶ V: φησὶν L ‖ λέγειν V: om. L ‖ [5] μόνον V: μόνους L ‖ [6] τὸ δὲ μηδὲν ἀγαυὰς corr. Victorius et in L (= L[3]) et in editione: τὸν δὲ μηδένα αὐγὰς L, τὸ δὲ μηδὲν αὐτὰς V ‖ [7] δὲ L: δὴ V ‖ [8] ἀγαυὰς V: αὐγὰς L

9. Ursa maior

Hipparch. I c. 10 p. 1021 D (p. 184 P.) ἐν δὲ τοῖς ἑξῆς περὶ τῆς Ἄρκτου παντελῶς δοκοῦσί μοι ἀγνοεῖν, ὁ μὲν Εὔδοξος οὕτω λέγων

„ὑπὸ δὲ τὴν κεφαλὴν τῆς μεγάλης Ἄρκτου οἱ Δίδυμοι κεῖνται, κατὰ μέσον δὲ ὁ Καρκίνος, ὑπὸ δὲ τοὺς ὀπισθίους πόδας ὁ Λέων",

5 ὁ δὲ Ἄρατος (v. 147,8)

„κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃ δ' ὑπὸ Καρκίνος ἐστίν,
ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὑπὸ καλὰ φαείνει."

οἷς ὅ τε ἌΤΤΑΛΟΣ καὶ οἱ λοιποὶ πάντες συνεπιγράφονται. ὅτι δὲ ἀγνοοῦσιν, ἐκ τούτων

ἐστὶ φανερόν. ἡ μὲν γὰρ κεφαλὴ τῆς μεγάλης Ἄρκτου κατὰ τοὺς προειρημένους ἄνδρας ἐστὶν ὁ βορειότερος ἀστὴρ τῶν β΄ τῶν ἡγουμένων ἐν τῷ πλινθίῳ, ἐπὶ δὲ τῶν ἐμπροσθίων ποδῶν κεῖται ὁ νοτιώτερος τῶν αὐτῶν ἀστέρων. ὅτι μὲν γὰρ ὁ προειρημένος ἀστὴρ κατ' αὐτοὺς ἐπὶ τῆς κεφαλῆς κεῖται, φανερὸν τοῦτο ποιοῦσιν ἐκ τοῦ λέγειν τὸν ἐν ἄκρᾳ τῇ οὐρᾷ τοῦ Δράκοντος ἀστέρα κεῖσθαι κατὰ τὴν κεφαλὴν τῆς Ἄρκτου· οὐκ ἄλλος γὰρ κεῖται ἀστὴρ κατὰ τὸν ἐν ἄκρᾳ τῇ οὐρᾷ τοῦ Δράκοντος, ἀλλ' ὁ βορειότερος τῶν ἡγουμένων ἐν τῷ πλινθίῳ. ὁ μὲν γὰρ ἐν ἄκρᾳ τῇ οὐρᾷ τοῦ Δράκοντος ἐπέχει ὡς κατὰ παράλληλον κύκλον τοῦ Λέοντος μοίρας γ΄. 10 15

[3] μέσον L: μέσην V ‖ [6] μέσση δ' L: μέση δ' V, μέση Marcianus Arati ‖ ἐστίν L: ἐστί V ‖ [9] ἐστὶ V: ἐστὶν L ‖ [10] τῷ L: om. V ‖ [12] τε post ἐκ LV: omisi ‖ [14] ἀλλ' ὁ L: ἄλλο V

10. Auriga

Hipparch. I c. 11 p. 1025 B (p. 185 P.) πάλιν δ' ὁ Ἄρατος περὶ τοῦ Ἡνιόχου λέγων ἐπιφέρει ταυτί (v. 177,8)·

„ἀλλ' αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο
εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών".

διαφωνεῖν οὖν μοι δοκεῖ πρὸς τὰ φαινόμενα καὶ ἐν τούτοις. Sequitur probatio Hipparchi; deinde pergitur: εἴπερ οὖν ἀκολούθως τοῖς φαινομένοις ἔγραφεν, ὡς ὁ ἌΤΤΑΛΟΣ ὑπολαμβάνει, πολλῷ βέλτιον ἦν καὶ παραδοξότερον λέγειν τὸν πόδα ἄκρον τοῦ Ἡνιόχου ὕστερον ἀνατείλαντος πρότερον καταδύνειν, καὶ μὴ ἅμα ἀνατείλαντα ὕστερον δύνειν. 5

[2] λέγων ἐπιφέρει ταυτί V: λέγει ἐπιφέρων οὕτως L ‖ [4] ὁμηλυσίῃ V Marcianus Arati: ὁμηλισίῃ L ‖ [8] ἀνατείλαντος L: ἀνατείλαντα V ‖ ἅμα ἀνατ. V: ἅμα συνανατ. L

11. Aries

Hipparch. I c. 13 p. 1032 B (p. 189 P.) ἐν δὲ τοῖς περὶ τὸν Κριὸν καὶ ὁ ἌΤΤΑΛΟΣ ἀγνοεῖ λέγων οὕτως·

κατανοῶν δὲ τὸν Κριὸν οὔτε ἀκριβῶς διατετυπωμένον οὔτε λαμπροὺς ἀστέρας ἔχοντα, δυναμένους δὲ καὶ ἐν σελήνῃ λαμπρῶς θεωρεῖσθαι διά τε τῶν παρακειμένων ἀστέρων πειρᾶται τὴν θέσιν αὐτῶν διασαφεῖν καὶ διὰ τῶν τὸν αὐτὸν αὐτῷ κύκλον φερομένων. 5

χωρὶς γὰρ τοῦ λαμπροὺς αὐτὸν ἔχειν ἀστέρας τοὺς ἐν τῇ κεφαλῇ, ὡς ἔφαμεν (paullo ante), καὶ τοὺς ἐν τοῖς ἐμπροσθίοις ποσὶ καὶ ἀπεκδέχεσθαί μοι δοκεῖ ὑπολαμβάνων διασαφεῖν αὐτὸν τὴν θέσιν τοῦ Κριοῦ φανερὰν ἔσεσθαι διὰ τῶν τὸν αὐτὸν κύκλον τῷ Κριῷ φερομένων καὶ τούτου χάριν ἐπισημαίνεσθαι. ἀλλὰ τὸ παρεπόμενον τῷ Κριῷ διασαφῶν ἐπιλέγει οὕτως (v. 231,2)· 10

„μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἧχί περ ἄκραι
Χηλαὶ καὶ ζώνη περιτέλλεται Ὠρίωνος."

[8] ὑπολαμβάνων L: ὑπολαμβάνειν V ‖ [10] ἐπισημαίνεσθαι scripsi: ἐπισημαίνεται LV

Hipparch. I c. 14 p. 1032 C (p. 189 P.) ἐν δὲ τοῖς ἑξῆς ἀγνοεῖ ὁ Ἄρατος λέγων περὶ τοῦ Περσέως (v. 254,5)· — **12. Perseus**

„ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Πληιάδες φορέονται“.

5 πολὺ γὰρ ἀπέχει τὸ ἀριστερὸν γόνυ τοῦ Περσέως ἀπὸ τῶν Πλειάδων. ὁ δὲ ἈΤΤΑΛΟΣ φησι μηδὲ ἐνδέχεσθαι τὸ „ἄγχι“ ἀντὶ τοῦ ἐγγύς, ἀλλ' ἀντὶ τοῦ ἐγγυτάτω·

βούλεται γὰρ λέγειν — φησίν — ἐγγυτάτω τῶν Πλειάδων κεῖσθαι τὸ ἀριστερὸν γόνυ παρὰ τοὺς λοιποὺς ἀστέρας.

οὐκ εὖ δὲ λέγει τοῦτο· οἱ γὰρ ἐν τῷ ἀριστερῷ ποδὶ τοῦ Περσέως β' λαμπροὶ καὶ ἔτι
10 <οἱ> ἐν τῇ ἀριστερᾷ κνήμῃ πολλῷ ἐγγιόνές εἰσι τῶν Πλειάδων ἤπερ τὸ ἀριστερὸν γόνυ.

Scholiasta Arati Marcianus ad v. 254 haec scribit contra illud Hipparchi vituperium: φησὶ δὲ (Hipparchus) τῷ μὲν ποδὶ τοῦ Περσέως μᾶλλον αὐτὰς πλησιάζειν, πόρρω δὲ εἶναι τοῦ ἀριστεροῦ γόνατος· πρὸς ὃ Διόδωρος μὲν „ὑπογουνίδος“ γράφει, ὅπως ἡ κνήμη σημαίνοιτο, Μηνόφαντος δὲ ἐπιγουνίδα τὴν κνήμην ἀκούει διὰ τὸ εἶναι ἐπ' αὐτῆς τὸ γόνυ. δύναιτο δ' ἂν καὶ ἀπὸ μέρους ὅλον τὸ σκέλος ἀκούεσθαι.

[3] ἐπιγουνίδος L Marcianus Arati: ἐπὶ γουνίδος V ‖ [5,7,10] Πλειάδων V: Πληιάδων L ‖ [7] φησίν V: om. L ‖ [10] supplevi ‖ ἐγγίονες V: ἐγγίοντες L

Hipparch. c. 14 p. 1032 D (p. 189 P.) ψευδῶς δὲ λέγεται ὑπὸ τοῦ Ἀράτου (v. 257 sqq.) καὶ τὸ τὰς Πλειάδας ἓξ μόνον ἀστέρας περιέχειν· ἑπτὰ γάρ, φησίν, ἐκεῖναι ἐπιρρήδην καλοῦνται, „ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι“ (258). λανθάνει δὲ αὐτόν· τῷ γὰρ ἀτενίσαντι ἐν αἰθρίῳ καὶ ἀσελήνῳ νυκτὶ φαίνονται ἀστέρες ζ' αὐταῖς περιεχόμενοι· ὅθεν
5 καὶ διαπορήσειεν ἄν τις, πῶς ὁ ἌΤΤΑΛΟΣ ἐξηγούμενος τὰ περὶ τὰς Πλειάδας παρέπεμψε καὶ τοῦτο τὸ διάπτωμα ὡς εὖ εἰρηκότος αὐτοῦ. — **13. Pliades**

[1] ψευδῶς L: ψεῦδος V ‖ [2] Πλειάδας V: Πληιάδας L ‖ [3] καλοῦνται scripsi: καλέονται LV ‖ [4] αὐταῖς scripsi, cf. l. 2: ἐν αὐτῇ LV ‖ [5] Πλειάδας V: Πληιάδας L ‖ [6] τὸ V: om. L ‖ εὖ εἰρηκότος Victorius, cf. fr. 19: εὖ εὑρηκότος L, εὑρηκότος V

Hipparch. I c. 15 p. 1033 A (p. 190 P.) ἐν δὲ τοῖς ἑξῆς ὁ Ἄρατος εἰπὼν περὶ τοῦ μηκέτι δεῖν πυκνοπλοεῖν, ὅταν τὸν Τοξότην ὁ ἥλιος ἄρξηται διαπορεύεσθαι, σημεῖα βουλόμενος ὑποδεῖξαι τοῦ καιροῦ τούτου φησίν (v. 303—310)· — **14. Cephei occasus, Sagittarii ortus**

„σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
5 Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός·
ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου

Τοξευτής· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων· ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον.
τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτός
ὕψι μάλα τροχάει· ὁ δὲ δύεται ἠῶθι πρό 10
ἀθρόος Ὠρίων, Κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν."

περὶ δὲ τούτων ὁ ἌΤΤΑΛΟΣ προενεγκάμενος αὐτίκα γράφει ταυτί·

τὰ μὲν οὖν λοιπὰ μετρίως εἴρηκεν ἐν τούτοις ὁ ποιητής, τὸ δὲ περὶ τοῦ Κηφέως ὁμολογουμένως ἠγνόηκε φήσας αὐτὸν δύεσθαι κατὰ τὸν καιρὸν τοῦτον· οὐ γὰρ δύσιν ἀλλ' ἐκ τῶν ἐναντίων ἀνατολὴν τότε ποιεῖται. καὶ τοῦτο δι' αὐτῶν 15 τῶν ποιημάτων φανερὸν γίγνεται· τῆς μὲν γὰρ δύσεως φησὶν αὐτὸν ἄρχεσθαι, καθ' ὃν καιρὸν αἱ Χηλαὶ πρὸς τῇ ἀνατολῇ οὖσαι μέλλουσιν ἀναφέρεσθαι, πάντα δ' αὐτοῦ δεδυκέναι τὰ μέρη τὰ δυνάμενα δύεσθαι, ὅταν ὁ Σκορπίος πρὸς τῇ ἀνατολῇ γένηται.

δοκεῖ οὖν μοι ἀγνοεῖν ὁ ἌΤΤΑΛΟΣ φάσκων τὰ μὲν περὶ τῆς κεφαλῆς τῆς μικρᾶς Ἄρκτου 20 καὶ περὶ τοῦ Ὠρίωνος ὀρθῶς εἰρηκέναι τὸν Ἄρατον, περὶ δὲ τοῦ Κηφέως διημαρτημένως· τοὐναντίον γὰρ περὶ μὲν τοῦ Κηφέως εἴρηκε <συμφώνως> τοῖς φαινομένοις, περὶ δὲ τῶν ἄλλων διαφώνως.

[2] ὅταν V: ὅτ' ἂν L || [5] καὶ ante Σκ. V || [6] μέγα L[3]: μετὰ LV || [7] παροίτερον superscripto ς Marcianus Arati || [9] κεφαλὴ V Marcianus Arati: κεφαλὴν L || [11] ἀθρόος L Marcianus Arati: ἀθρόως V, quod adverbium glossema primitus fuisse videtur ad ἀθρόος superscriptum, ut est in scholio Marciano ὁ Ὠρίων (φησί) τὸ τηνικαῦτα ἀθρόος (-ως superscr. M[1]) <τουτέστι> πᾶς καταδύεται πρὸ τῆς ἡμέρας κτέ. || [12] δὲ V: om. L || τούτων V: τούτου L || [13] ἐν τούτοις V: om. L || περὶ V: om. L || [14] τὸν V: om. L || [18] ὅταν V: ὅτ' ἂν L || [20] ὁ ἌΤΤΑΛΟΣ V: om. L || τῆς posterius L: om. V || [22] supplevit Victorius || [23] διαφώνως V: διαφωνοῦσι L

15. idem

HIPPARCH. I c. 16 p. 1033 C (p. 191 P.) τούτου (fr. 14) δ' ἔτι πρότερον διαμαρτάνειν μοι δοκεῖ (ATTALUS) ὑπολαμβάνων τὸν Ἄρατον τὰ εἰρημένα σημεῖα ὑπογράφειν ἡμῖν τῆς τοῦ Τοξότου ἀνατολῆς· ὅτι μὲν γὰρ τοῦτ' ἐκδέχεται, φανερὸν μὲν ἦν καὶ ἐκ τῶν προγεγραμμένων αὐτοῦ λέξεων, χωρὶς δὲ τούτων καὶ ῥητῶς ἐν τοῖς ἑξῆς φησιν οὕτως·

ὁμολογουμένως δὴ κατὰ τοῦτον τὸν καιρὸν πάντων αὐτοῦ τῶν ἐκτὸς τοῦ 5 ἀρκτικοῦ κύκλου κειμένων μερῶν δεδυκότων ἤδη μὲν φανερόν ἐστιν, ὅτι τοῦ Τοξότου πρὸς τῇ ἀνατολῇ ὄντος οὐ ποιεῖται τὴν ἀρχὴν τῆς δύσεως. πλὴν ἵνα σαφέστερον γένηται, διότι κατὰ τὴν τοῦ Τοξότου ἀνατολὴν οὐ δύσιν ἀλλ' ἀνατολὴν αὐτοῦ συμβαίνει γίνεσθαι, λάβωμεν τὰ λεγόμενα ὑπ' αὐτοῦ περὶ τὸν καιρὸν τοῦτον. 10

ὁ δὲ ἀπεκδέχεται, ἅπαν ψευδές. Sequitur refutatio; deinde pergit p. 1036 B (p. 191 E P.)

ita: ἐπλανήθη δὲ ὁ ἌΤΤΑΛΟΣ διὰ τὸ τῷ ἐπὶ τοῦ Τοξότου εἰρημένῳ (v. 307) „ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον“ συνάπτειν τὸ „τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος“ (v. 308) καὶ τὰ ἑξῆς. πλὴν εἴ
15 τις καὶ τοῦτο συγχωρήσειεν αὐτῷ, οὐδ' οὕτω δύναται ὁ Ἄρατος μετρίως λέγειν, ὥς φησιν ὁ ἌΤΤΑΛΟΣ, τούτου ἀνατέλλοντος „ὕψι μάλα“ (v. 309) τροχάειν τὴν κεφαλὴν τῆς μικρᾶς Ἄρκτου· ταύτης γὰρ „ὕψι μάλα“ φερομένης καὶ μεσουρανούσης οὐχ ὅτι Τοξότης ἀνατέλλει, ἀλλὰ Ὑδροχόος. ἡ μὲν γὰρ κεφαλὴ τῆς μικρᾶς Ἄρκτου ἐπέχει κατὰ τὸν παράλληλον τῷ ἰσημερινῷ κύκλον τὴν τελευτὴν τοῦ Σκορπίου, ταύτης δὲ μεσουρανούσης ἐν τῷ
20 ζῳδιακῷ μεσουρανεῖ ἡ τρίτη μοῖρα τοῦ Τοξότου· ἧς μεσουρανούσης ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις καὶ ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ' ἀνατέλλει τοῦ Ὑδροχόου μοῖρα ιζ'. ὅταν ἄρα ἡ κεφαλὴ τῆς μικρᾶς Ἄρκτου μεσουρανῇ — ὅπερ ἐστὶ ταὐτὸν <τῷ> „ὕψι μάλα τροχάει“ — τότε οὐχ ὁ Σκορπίος ἄρχεται ἀνατέλλειν ἀλλὰ τοῦ Ὑδροχόου πλέον ἢ τὸ ἥμισυ ἀνατέταλκε μέρος, ὁ δὲ Σκορπίος ἤδη ὅλος. ὡς μὲν οὖν οὐ μετρίως
25 εἴρηται τοῦτο τῷ Ἀράτῳ, ὡς ὁ ἌΤΤΑΛΟΣ φησιν, ἀλλὰ πλέοσιν ἢ τρισὶ ζῳδίοις διαφωνεῖ πρὸς τὸ φαινόμενον, φανερὸν ἐκ τῶν εἰρημένων. ὅτι δὲ οὐδὲ Ὠρίων ὅλος δύνει τοῦ Σκορπίου ἀρχομένου ἀνατέλλειν, ὡς ὅ τε Ἄρατος λέγει καὶ ὁ ἌΤΤΑΛΟΣ αὐτῷ συναποφαίνεται, ἀλλὰ μᾶλλον τοῦ Τοξότου, φανερὸν ἂν γένοιτο διὰ τούτων. Sequitur argumentatio Hipparchi.

[3] τοῦτ' V: τοῦτο L || μὲν ἦν καὶ V: om. L || [5] δὴ V: ἤδη L ‖ αὐτοῦ V: αὐτῶν L ‖ ἐκτὸς τοῦ V: ἐκ τοῦ L ‖ [6] μερῶν V: om. L ‖ [9] τὰ λεγόμενα V: τὸ λεγόμενον L ‖ [10] τοῦτον LV[2]: om. V || [18] ἀλλὰ V: ἀλλ' L || [19] κύκλον L: κύκλῳ V || [20] μοῖρα V: μοι. L ‖ [21] ιδ' ς' coni. Petavius, cf. paullo inferius ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις, ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ιδ' ς', ubi ς' L: om. V ‖ [22] μοῖρα scripsi: μοι. L, μ[οι] V ‖ supplevi ‖ [24] πλέον scripsi cf. fr. 2: πλεῖον LV || [25] πλείοσιν LV ‖ τρισὶ V: τρισὶν L ‖ [26] οὐδὲ scripsi: οὔτε LV ‖ [28] μᾶλλον V: μᾶλον L

16. idem

Hipparch. I c. 16 p. 1037 A (p. 192 P.) τὰ δὲ λοιπὰ περὶ τοῦ Κηφέως λεγόμενα (v. 310) ὅτι συμφώνως τοῖς φαινομένοις Ἄρατος λέγει καὶ οὐ διαφωνεῖ ὡς ὁ ἌΤΤΑΛΟΣ ὑπολαμβάνει, δῆλον ἂν γένοιτο διὰ τούτων· ἄρχεται μὲν δύνειν τὰ νοτιώτερα αὐτοῦ μέρη τοῦ ἀειφανοῦς κύκλου ἀνατελλούσης τῆς η̄ μοίρας τῶν Χηλῶν, † λέγει
5 δύναται τῆς ιγ' μοίρας τῶν Χηλῶν. φανερὸν τοίνυν, ὅτι τοῦ Σκορπίου ἀνατέλλοντος δεδυκέναι δεῖ τὰ β' μέρη τοῦ Κηφέως. ἐπλανήθη δὲ ὁ ἌΤΤΑΛΟΣ λέγων μὴ δύνειν τὸν Κηφέα ἀλλ' ἐκ τῶν ἐναντίων ἀνατέλλειν, ἀπεκδεξάμενος τοῦ ποιητοῦ τὸ βούλημα — ὡς προείρηκα — καὶ ὑπολαβὼν τὸν Ἄρατον λέγειν τοῦ Τοξότου ἀνατέλλοντος τόν τε Ὠρίωνα καὶ τὸν Κηφέα δύνειν.

[1] λοιπὰ L: om. V ‖ [4] ἀειφανοῦς L: ἀεὶ φανεροῦ V ‖ μοίρας V: μ. superscripto ο L ‖ [4.5] crucem praefixi verbis λέγει δύναται; an δέδυκε δὲ conlato fr. 14 l. 18, al.? ‖ [5] μοίρας V: μ superscripto ο L ‖ [7] ἀπεκδεξάμενος corr. Petavius, cf. ex. gr. fr. 11: ἀποδεξάμενος LV || [8] τόν τε L: τότε V

17. stellae nomine carentes

Hipparch. I c. 18 p. 1040 B (p. 193 P.) ἐν δὲ τοῖς ἐφεξῆς ὁ Ἄρατος ἐπελθὼν τὰ λοιπὰ τῶν νοτιωτέρων ἄστρων τοῦ ζῳδιακοῦ ἐπιφέρει ταυτί (v. 367—369)·

„οἵ δ' ὀλίγῳ μέτρῳ ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ
μεσσόθι Πηδαλίου καὶ Κήτεος εἱλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ.“ 5

ἐν δὲ τούτοις παρεωρακέναι μοι δοκεῖ — οὕτω γὰρ δεῖ λέγειν — ὑπολαβὼν μεταξὺ τοῦ Πηδαλίου καὶ τοῦ Κήτους κεῖσθαι τοὺς ἀνωνύμους ἀστέρας· δεῖ γὰρ αὐτοὺς μεταξὺ τοῦ Ποταμοῦ καὶ τοῦ Πηδαλίου κεῖσθαι. Sequitur probatio et Eudoxi, qui recte haec descripsisset, comparatio. Deinde subicit: ὁ δὲ ἌΤΤΑΛΟΣ τούτου μὲν τοῦ παροράματος οὐκ ἐμνήσθη δεόντως εἰρηκέναι νομίζων τὸν Ἄρατον, ἐπιλαμβάνεται δὲ αὐτοῦ, 10 διότι ,ἀδυνάτως ἀνέστραπται ἐν τούτοις‘ (v. 367—385)·

„οἵ δ' ὀλίγῳ μέτρῳ ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ
μεσσόθι Πηδαλίου καὶ Κήτεος εἱλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ
νώνυμοι· οὐ γάρ τοι γε τετυγμένου εἰδώλοιο 15
βέβληνται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
ἑξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
ἀνομένων ἐτέων, τά τις ἀνδρῶν οὐκέτ' ἐόντων
ἐφράσατ' ἠδ' ἐνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι
ἤλιθα μορφώσας. οὐ γάρ κε δυνήσατο πάντων 20
οἰόθι κεκριμένων ὄνομ' εἰπεῖν οὐδὲ δαῆναι·
πολλοὶ γὰρ πάντῃ, πολέων δ' ἐπὶ ἶσα πέλονται
μέτρα τε καὶ χροιή, πάντες γε μὲν ἀμφιέλικτοι.
τῷ καὶ ὁμηγερέας οἱ ἐείσατο ποιήσασθαι
ἀστέρας, ὄφρ' ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος 25
εἴδεα σημαίνοιεν· ἄφαρ δ' ὀνομαστὰ γένοντο
ἄστρα, καὶ οὐκ ἔτι νῦν ὑπὸ θαύματι λάμπεται ἀστήρ·
ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισι
φαίνονται, τὰ δ' ἔνερθε διωκομένοιο Λαγωοῦ
πάντα μάλ' ἠερόεντα καὶ οὐκ ὀνομαστὰ φέρονται.“ 30

ταῦτα δὲ προενεγκάμενος ὁ ἌΤΤΑΛΟΣ ἐπιφέρει·

ἐν δὲ τούτοις ἀδυνατώτερον ὁ ποιητὴς ἀνέστραπται πολλάκις ἐπὶ τὴν αὐτὴν διάνοιαν ἐπιφερόμενος καὶ οὐ δυνάμενος τὸν λόγον εὐπεριγράφως ἐξενεγκεῖν· βούλεται γὰρ δηλῶσαι, διότι οἱ μεταξὺ τοῦ Κήτους καὶ τοῦ Πηδαλίου τεταγμένοι ὑποκάτω τοῦ Λαγωοῦ ἐν οὐδενὶ ἄστρῳ καταριθμοῦνται, ἀλλ' εἰσὶν ἀνώνυμοι. 35 πολλῶν γὰρ ὑπαρχόντων ἀστέρων καὶ ἐνίων τὰ μεγέθη καὶ τὰ χρώματα

ὅμοια ἐχόντων ὁ πρῶτος διατάξας τὰ ἄστρα καὶ κατὰ συστάσεις ἑκάστοις
ὄνομα περιτιθεὶς οὐκ ἂν ἠδυνήθη σποράδην αὐτῶν κειμένων τὴν ἐπίγνωσιν
αὐτῶν λαμβάνειν, εἰ μὴ λαβὼν ἐξ αὐτῶν τοὺς δυναμένους μετ' ἀλλήλων
40 διασημαίνειν τι τῶν ἄστρων οὕτω κατωνόμασεν αὐτά.

δοκεῖ δέ μοι πᾶν τοὐναντίον ὁ μὲν ἌΤΤΑΛΟΣ μὴ κεκρατηκέναι τῆς τοῦ ποιητοῦ διανοίας, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἣν προέθετο διάνοιαν τῶν στίχων ἀποδοῦναι μηδὲ ταύτην σαφῶς ἀλλ' ἀσυνέτως ἐξενηνοχέναι, ὁ μέντοι γε Ἄρατος κεκρατημένως ἀποδεδωκέναι. Sequitur de Arato probatio.

[3] μέτρῳ V Marcianus Arati: μετρίῳ L ‖ [5] λαγωοῦ V: λαγῳοῦ L ‖ [12] οἱ L Marcianus Arati: οὐ V ‖ [13] μεσσόθι V Marcianus Arati, cf. supra l. 4: μέσσοι L ‖ [15] νώνυμοι VL[3] Marcianus Arati: νωνοι L ‖ γε LV: om. Marciani Arati manus prima ‖ τετυγμένου L Marcianus Arati: τετυγμένοι V ‖ [16] βεβλέαται Marcianus Arati ‖ [17] στιχόωντα L Marcianus Arati: στιχόωντο V ‖ [18] ἀνομένων VL[3]: ἀνυμένων Marcianus Arati, ὠνομένων L ‖ [19] ἠδ' L Marcianus Arati: οὐδ' V ‖ καλέσσας Marcianus Arati ‖ [20] κε δυνήσατο V Marcianus Arati Attali paraphrasis infra l. 38: γ' ἐδυνήσατο L ‖ [22] δ' LV: om. Marcianus Arati ‖ ἶσα Marcianus Arati ‖ [23] χροιῇ Marcianus Arati ‖ γέμεν Marcianus Arati: τε μὲν LV ‖ [24] τῷ Marcianus Arati ‖ οἱ LV: om. Marcianus Arati ‖ ἐείσατο L Marcianus Arati: ἀείσατο V ‖ [25] ἐπιτὰξ ἄλλῳ VL[3] Marcianus Arati: ἐπιταξαλλῳ L ‖ [26] γένοντο L Marcianus Arati: γένοιντο V ‖ [27] ὑπὸ V Marcianus Arati: ἐν L ‖ τέλλεται Marcianus Arati ‖ [28] εἰδώλοισι L Marcianus Arati: εἰδώλοιο V ‖ [29] λαγῳοῦ L ‖ [30] ἠερόεντα L: ἠρόεντα V, ἠερόωντα Marcianus Arati ‖ [35] λαγῳοῦ L ‖ [37] πρῶτος V: πρώτως L ‖ [38] ἠδυνήθη V: ἐδυνήθη L ‖ [42] μὴ δὲ LV ‖ [43] ἀλλ' ἀσυνέτως corr. Victorius: ἀλλασυνέτως L, ἀλλὰ συνέτως V ‖ κεκρατημένως L: κεκρατημένος V

18. Ara

Hipparch. I c. 19 p. 1041 C (p. 196 P.) ἑξῆς δέ φησιν ὁ Ἄρατος περὶ τοῦ Θυμιατηρίου (v. 402—407)·

„αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο
Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται·
5 τοῦ δ' ἤτοι ὀλίγον μὲν ἐπὶ χρόνον ὑψόθ' ἐόντος
πεύσεαι· ἀντιπέρην γὰρ ἀείρεται Ἀρκτούροιο.
καὶ τοῦ μὲν μάλα πάγχυ μετήοροί εἰσι κέλευθοι
Ἀρκτούρου, τὸ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἅλα νεῖται“.

ἐν δὲ τούτοις δοκεῖ μοι ἀγνοεῖν ὁ Ἄρατος ὑπολαμβάνων, ὅσον ἀπέχει ὁ Ἀρκτοῦρος ἀπὸ
10 τοῦ ἀεὶ φανεροῦ πόλου, τοσοῦτον ἀπέχειν καὶ τὸ Θυμιατήριον ἀπὸ τοῦ νοτίου πόλου· ὁμοίως δὲ καὶ ὁ ἌΤΤΑΛΟΣ ὡς ἂν συναποφαινόμενος αὐτῷ ἀγνοεῖ· ἐξηγούμενος γὰρ τὴν διάνοιαν τῶν εἰρημένων στίχων λέγει οὕτως·

περὶ δὲ τοῦ Θυμιατηρίου ποιούμενος τὸν λόγον φησὶν αὐτὸ κεῖσθαι πρὸς τὸν ἀφανῆ πόλον οὕτως ἔχον, ὡς ἀστὴρ ὁ καλούμενος Ἀρκτοῦρος πρὸς τὸν φανερὸν

κεῖται πόλον· διό φησι τοῦ Θυμιατηρίου τὴν ὑπὲρ γῆς φορὰν βραχεῖαν εἶναι, 15
τοῦ δὲ Ἀρκτούρου πολλήν.

ψευδῶς δὲ διαλαμβάνουσι τὸν Ἀρκτοῦρον ἴσον ἀπέχειν ἀπὸ τοῦ βορείου πόλου καὶ τὸ Θυμιατήριον ἀπὸ τοῦ νοτίου. Sequitur argumentatio Hipparchi.

[4] αἰωρεῖται L: αἰωρῆται V ‖ [5] δ' ἤτοι V Marcianus Arati: δή τοι L ‖ [6] πεύσεαι L Marcianus Arati: πεύσεε V ‖ [7,8] τῶ iota ut saepissime omisso et Ἀρκτούρῳ Marcianus Arati ‖ [14] πρὸς L: περὶ V ‖ [17] ἴσον L: ἶσον V

19. Centaurus

Hipparch. I c. 20 p. 1044 D sq. (p. 197 P.) χωρὶς δὲ τούτων ὁλοσχερῶς ἀγνοεῖ (Aratus v. 435—437) λέγων τὸν Κένταυρον ὑπὸ τῷ Σκορπίῳ καὶ ταῖς Χηλαῖς κεῖσθαι· ὅλος γὰρ σχεδὸν ὑπὸ τῇ Παρθένῳ κεῖται. Hoc pluribus probat; deinde pergit παραπέμπει δὲ καὶ τοῦτο ὁ ἌΤΤΑΛΟΣ, ὡς εὖ εἰρηκότος αὐτοῦ.

[4] εὖ εἰρηκότος V: εὑρηκότος L

20. circuli

Hipparch. I c. 21 p. 1045 B (p. 198 P.) ἐν δὲ τοῖς ἑξῆς περὶ τῶν τροπικῶν καὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ ζῳδιακοῦ κύκλου λέγων φησίν (v. 467—468)·

„αὐτοὶ δ' ἀπλατέες καὶ ἀρηρότες ἀλλήλοισι
πάντες· ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται“.

γραφομένου δὴ διχῶς, καὶ ἐν οἷς μὲν „αὐτοὶ δ' ἀπλατέες“ ἐν οἷς δὲ „αὐτοὶ δὲ πλατέες“, ὁ 5
ἌΤΤΑΛΟΣ φησι βέλτιον εἶναι „αὐτοὶ δὲ πλατέες“·

καὶ γὰρ οἱ ἀστρολόγοι — φησί — πλατεῖς ὑποτίθενται τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινὸν καὶ τὸν ζῳδιακόν·

καὶ τὸν ἥλιον τὰς τροπὰς μὴ ἀεὶ ἐπὶ τοῦ αὐτοῦ κύκλου ποιεῖσθαι, ἀλλά ποτε μὲν νοτιώτερον ποτὲ δὲ βορειότερον· καὶ ὅτι γίνεται τοῦτο, καὶ Εὔδοξός φησιν. Secuntur Eudoxi 10
verba; deinde pergit: δοκεῖ δή μοι καὶ ἐν τούτοις ὁ ἌΤΤΑΛΟΣ ἀγνοεῖν ὑπολαμβάνων τὸν ἥλιόν ποτε μὲν νοτιωτέρας ποτὲ δὲ βορειοτέρας ποιεῖσθαι τὰς τροπάς, καὶ διὰ τοῦτο δεῖν τοὺς κύκλους 'πλατεῖς' ὑποτίθεσθαι. Sequitur Hipparchi argumentatio.

[2] κύκλου V: om. L ‖ [3] δ' ἀπλατέες V: δὲ πλατέες L, δ' ἀπλανέες Marcianus Arati cum scholiis ‖ [5,6] verba ὁ ἌΤΤΑΛΟΣ — πλατέες V: om. L.

21. de tropico aestivo

Hipparch. I c. 5 1013 C (178 P.) errasse scribit Aratum (v. 497—499) de tropico aestivo haec proferentem:

„τοῦ μέν, ὅσον τε μάλιστα, δι' ὀκτω μετρηθέντος
πέντε μὲν ἔνδια στρέφεται καὶ ὑπέρτερα γαίης,
5 τὰ τρία δ' ἐν περάτῃ."

συμφωνεῖται δή, διότι ἐν μὲν τοῖς περὶ τὴν Ἑλλάδα τόποις ὁ γνώμων λόγον ἔχει πρὸς τὴν ἰσημερινὴν σκιάν, ὃν ἔχει τὰ τέσσαρα πρὸς τὰ τρία. ἐκεῖ δὴ τοίνυν ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ἰσημερινῶν ιδ´ καὶ γ´ ἔγγιστα πεμπτημορίων, τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν λζ´ ὡς ἔγγιστα. ὅπου δὲ ἡ μεγίστη ἡμέρα λόγον ἔχει πρὸς τὴν ἐλαχίστην ὃν ἔχει τὰ ε´ 10 πρὸς τὰ γ´, ἐκεῖ ἡ μὲν μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ιε´, τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν μα´ ὡς ἔγγιστα. δῆλον τοίνυν, ὅτι οὐ δυνατὸν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τὸν προειρημένον εἶναι λόγον τῆς μεγίστης ἡμέρας πρὸς τὴν ἐλαχίστην, ἀλλὰ μᾶλλον ἐν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις. καίτοι γε ὁ μὲν Ἄρατος οὐκ ἀφ' ἑαυτοῦ κρίσιν περὶ τῶν τοιούτων προφερόμενος γέγραφεν, ἀλλὰ τῷ Εὐδόξῳ καὶ περὶ τούτου κατακολουθήσας — εἰ δὲ καὶ 15 ἀφ' ἑαυτοῦ γέγραφεν, οὐ διασαφήσας, ἐν ποίοις ἐστὶν ἡ προειρημένη ἔγκλισις τοῦ κόσμου, τάχα ἂν κατά γε τοῦτο διακρούοιτο τὸ ἔγκλημα — ὁ μέντοι γε ἌΤΤΑΛΟΣ ὁμολογουμένως ἠγνόει λέγων ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τὴν μεγίστην ἡμέραν πρὸς τὴν ἐλαχίστην λόγον ἔχειν ὃν τὰ ε´ πρὸς τὰ γ´· προεκθέμενος γὰρ τὰ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ ποιήματα ἐπιφέρεται ταυτί·

20 διὰ δὲ τούτου φανερὸν ποιεῖ, διότι τὴν ὅλην πραγματείαν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις πεποίηται· παρ' ἐκείνοις γάρ ἐστιν ἡ μακροτάτη ἡμέρα πρὸς τὴν μικροτάτην νύκτα ὡς τὰ ε´ πρὸς τὰ γ´.

Hipparchi doctrinam adversus Attalum promptam scholiasta Arati Marcianus refert ad v. 497 et Achilles in Isagoga Aratea p. 159 Petav.

[4] ἔνδια στρέφεται Marcianus Arati: ἐνδιαστρέφεται LV || ὑπέρτερα etiam Marcianus Arati in textu: γράφεται καὶ „ὑπέρτατα" idem in scholiis || [7] ἠσημερινὴν V, ἡμερινὴν L || [8] μοιρῶν L: μορίων V || [10] μοιρῶν V: μ. superscripto ο ut saepe L || [18] προεκθέμενος V: ἐκθέμενος L || [20] Ἀττali verba ab Hipparcheis distinxit L

22. idem

Hipparch. I c. 25 p. 1056 D (p. 205 P.) ἑξῆς δέ φησιν (Aratus de circulo aequatore 522—524)·

„οὐ μὴν Αἰητοῦ ἀπαμείρεται, ἀλλὰ μάλ' ἐγγύς
Ζηνὸς ἀητεῖται μέγας ἄγγελος· ἡ δὲ κατ' αὐτόν
5 Ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται·"

συνεγγίζει δὲ καὶ ταῦτα τῇ ἀληθείᾳ. ὁ δὲ Εὔδοξος τὰ μὲν ἄλλα ὁμοίως εἴρηκε, τῶν δὲ Χηλῶν τὰ μέσα φησὶν ἐπὶ τοῦ ἰσημερινοῦ κεῖσθαι, τοῦ δ' Ἀετοῦ τὴν ἀριστερὰν πτέρυγα, τοῦ δὲ Ἵππου καὶ τὴν ὀσφῦν, καὶ ἔτι τῶν Ἰχθύων τὸν βορειότερον αὐτῶν . . . ὁ δὲ

ἌΤΤΑΛΟΣ περὶ τῶν ἐν τοῖς εἰρημένοις κύκλοις ἀστέρων τὸν μὲν κατὰ μέρος λόγον παραπέμπει, γράφει δὲ ταῦτα· 10

> ἐν οἷς δὲ διασαφεῖ (Aratus), διὰ τίνων ἀστέρων ἕκαστος τῶν γ΄ παραλλήλων διήκει, ὁλοσχερῶς οὐ δυναμένων διέρχεσθαι τῶν κύκλων δι' ὧν φησιν (Aratus) ἀστέρων αὐτοὺς διήκειν διὰ τὸ παρηκολουθηκέναι σὲ διὰ τῆς διόπτρας ἐπεσκεμμένον αὐτὰ παρῆκα νῦν διασαφεῖν.

πρῶτον μὲν οὖν ἔδει καὶ τῶν λοιπῶν χάριν τῶν φιλομαθούντων, εἴπερ παρηκολούθει, 15 ὑποδεῖξαι τίνες τε αὐτῶν νοτιώτεροι καὶ βορειότεροι ἐφαίνοντο τοῦ θερινοῦ τροπικοῦ καὶ πόσῳ· ἔπειτα πρὸς τὸ αὐτὸ τοῦτο μόνον κατανοῆσαι, διότι οὐ φέρονται κύκλοι διὰ τῶν εἰρημένων ἀστέρων, οὐ χρεία διόπτρας. Sequitur probatio Hipparchi.

[3] αἰητοῦ V Marcianus Arati: αἴειτοι L ‖ ἀλλάοι ἐγγὺς Marcianus Arati | [4] αὐτὸν LV: αὐτοὺς Marcianus Arati ‖ [5] ὑπαύχενον L Marcianus Arati: ὑπαυχένιον V ‖ [7] τοῦ τ' ἀετοῦ V, τοῦ τε αἰετοῦ L ‖ [12] post διήκει add. V δ' ὃ παραπέμπει, L δ' ὅτι παραπέμπει. Quae esse corrupta iudicavit recte Petavius. Mihi correctura διὸ in V et διότι in L reposita haec a lectore olim in margine adscripta ad Ατταλ: locum videntur et expellenda ‖ [18] χρεία L: χρείαν V

23. horarum noctis computatio

Hipparch. II c. 1 et 2 p. 1064 B (p. 209 P.) πρῶτον μὲν οὖν ὁ Ἄρατος ὑποδεῖξαι βουλόμενος, πῶς διὰ τῆς ἀνατολῆς καὶ τῆς δύσεως τῶν ἄστρων ἐπιγνωσόμεθα τὴν ὥραν τῆς νυκτός, λέγει ταυτί. Secuntur v. 559—568 ipsi et paraphrasis; deinde ita pergit: πρῶτον μὲν οὖν ἀγνοεῖ ὑπολαμβάνων ἀρκεῖν πρὸς τὸ τὴν ὥραν ἐπιγνῶναι τῆς νυκτὸς τὸ συλλογίσασθαι, πόσα ἔτι ζῴδια καταλείπεται εἰς τὴν τοῦ ἡλίου ἀνατολήν· 5 τοῦτο γὰρ <ἂν> ἐγίνετο, εἰ ἐν ἴσῳ χρόνῳ ἕκαστον τῶν ζῳδίων ἀνέτελλεν. ἐπεὶ δὲ μεγάλην εἶναι συμβαίνει διαφορὰν ἐν ταῖς ἀνατολαῖς τῶν ιβ΄ ζῳδίων, ἀγνοήσει τὴν τῆς νυκτὸς ὥραν ὁ τῷ προειρημένῳ συλλογισμῷ χρώμενος. μάλιστα δ' ἄν τις θαυμάσειε, πῶς καὶ ὁ ἌΤΤΑΛΟΣ συγκατατίθεται τούτῳ· λέγει γὰρ τὸν τρόπον τοῦτον·

> ἐν δὲ τοῖς ἐχομένοις (v. 559 - 568) πειρᾶται ὑποδεικνύειν, πῶς ἄν τις διὰ τῶν 10 ἄστρων δύναιτο τὴν ὥραν τῆς νυκτὸς ἐπιγιγνώσκειν· ἐπεὶ γάρ ἐστιν ἀρχὴ νυκτὸς ἡλίου δύσις, ὁ δὲ ἥλιος ἀεὶ ἔν τινι τῶν ιβ΄ ζῳδίων ἐστί, δῆλον ὅτι τῷ γιγνώσκοντι, ἔν τίνι τε ζῳδίῳ ὁ ἥλιός ἐστι καὶ ἐν πόστῃ μοίρᾳ τοῦ ζῳδίου, ῥᾴδιόν ἐστιν ἐπιγνῶναι καὶ ποῖον ζῴδιον ἐν ἀρχῇ τῆς νυκτὸς ἀνατέλλει καὶ ποίᾳ μοίρᾳ· τῇ γὰρ ὑπὸ τοῦ ἡλίου κατεχομένῃ μοίρᾳ ἡ κατὰ 15 διάμετρον κειμένη τὴν ἀνατολὴν κατὰ τὴν ἀρχὴν τῆς νυκτὸς ποιήσεται· τοῦτο δὲ προϊστορηκὼς καὶ ἐπεγνωκώς, ὅτι ἐν πάσῃ νυκτὶ ϛ΄ ζῴδια πρὸς τῇ ἀνατολῇ ἀνίσχουσι, γνώσεται καὶ πόσον τῆς νυκτὸς παρεληλυθός ἐστι καὶ πόσον τὸ λοιπὸν ἕως τῆς τοῦ ἡλίου ἀνατολῆς.

20 μετὰ δὲ ταῦτα λέληθεν ἀμφοτέρους αὐτούς, ὅτι οὐδ' ἂν αὐτὸ τὸ ζῴδιον βλέπῃ τις ἀνατεταλκὸς δυνατός ἐστιν ἀκριβῶς τὴν ὥραν τῆς νυκτὸς συλλογίσασθαι κατὰ τὸν προειρημένον τρόπον. Deinde refutantur Aratus et ATTALUS.

Aratum et ATTALUM scholiasta Arati Marcianus tacite sequitur.

5 καταλείπεται V: καταλείπονται L ‖ 6 inclusum supplevi ‖ εἰ hoc loco V: ante ἕκαστον L ‖ 7 συμβαίνει L: om. V ‖ 15 ποία μοίρα corr. Victorius: ποία μοίρα L, ποῖαι μοῖραι V ‖ 16 ποιήσεται V: ποιήσει L ‖ 17 ζῴδια L: ζῳδίων V ‖ 18 ἀνίσχουσι L: ὑπάρχων V ‖ 21 δυνατός — νυκτὸς LV²: om. V ‖ δυνατός L: δυνατόν V² ·

24. Arcturi occasus

HIPPARCH. II c. 7 p. 1076 A (p. 217 P.) οὐ μόνον δὲ ὁ Ἄρατος (v. 581) καὶ ὁ Εὔδοξος ἀλλὰ καὶ οἱ λοιποὶ μαθηματικοὶ πάντες σχεδὸν ὅσοι περὶ τοῦ Βοώτου λόγον πεποίηνται ὁμοίως τούτοις ἀποπεπλάνηνται νομίζοντες τέσσαρσι ζῳδίοις αὐτὸν συγκαταδύνειν. ἌΤΤΑΛΟΣ δὲ καὶ περὶ τοῦ τὴν ἀρχὴν τῆς δύσεως αὐτὸν ποιεῖσθαι μὴ τῷ
5 Σκορπίῳ συγκαταφερόμενον, ὡς ἡμεῖς ἐδείκνυμεν (p. 1073 C), ἀλλὰ ταῖς Χηλαῖς ἱκανῶς διαβεβαιοῦται λέγων τὸν τρόπον τοῦτον·

> ἔνιοι γὰρ οὔτε τοῖς φαινομένοις παρακολουθοῦντες οὔτε τὰ ὑπὸ τοῦ ποιητοῦ λεγόμενα δυνάμενοι συνεῖναι διαφόρους ἀποφάσεις πεποίηνται περὶ αὐτοῦ. καί τινες μέν φασιν αὐτὸν τῇ Παρθένῳ πρῶτον ἄρχεσθαι συγκαταδύνειν, εἶτα
> 10 τοῖς ἐφεξῆς τρισὶ ζῳδίοις· ἔνιοι δὲ ἄρχεσθαι μὲν ἀπὸ τοῦ Σκορπίου, λήγειν δὲ ἐπὶ τὸν Ὑδροχόον· ὧν τισι καὶ σὺ παρατέτευχας ἐλεγχομένοις ὑφ' ἡμῶν καὶ μετατιθεμένοις. καθόλου δὲ καὶ τοῦ φαινομένου τοῦτο συνιστῶντος καὶ τοῦ ποιητοῦ σαφῶς λέγοντος, ὅτι ὅλος μὲν δεδυκὼς γίνεται Λέοντος πρὸς ἀνατολὰς ὄντος, ἄρχεται δὲ δύεσθαι, ὅταν ὁ Ταῦρος μέλλῃ ἀνατέλλειν, τὸ δὲ
> 15 κατὰ διάμετρον αὐτῷ κείμενον ζῴδιον ὁ Σκορπίος πρὸς τῇ δύσει ὑπάρχῃ, αἱ δὲ Χηλαὶ ἀρτίως κατενηνεγμέναι ὦσιν, αἷς ἅμα συγκαταφέρεσθαι ἄρχεται ὁ Ἀρκτοφύλαξ, φανερὸν εἶναι νομίζω, διότι τοὺς ἀντιδοξοῦντας ἡμῖν περὶ τούτου παντελῶς ἀπείρους εἶναι τῶν φαινομένων συμβέβηκεν.

καλῶς μὲν οὖν <ἂν> εἶχεν, εἰ μὴ μόνον ἀναποδείκτῳ φάσει χρώμενος ἔλεγε τοὺς ἀντι-
20 δοξοῦντας ἐλεγχομένους ὑπ' αὐτοῦ μετατίθεσθαι, ἀλλὰ καὶ νῦν ἔγγραπτον ἐτίθει τὴν ἀπόδειξιν, ἵνα καὶ οἱ λοιποὶ τῶν ἀντιδοξούντων πεισθῶσιν, ὅτι ταῖς Χηλαῖς ἄρχεται συγκαταδύνειν καὶ οὐ τῷ Σκορπίῳ. πλὴν ἐπεὶ οὗτος παραλέλοιπεν, οὐκ ἄχρηστον ἂν εἴη διὰ βραχέων ὑπομνῆσαι, δι' ὧν πειθόμεθα τῷ Σκορπίῳ πρώτως αὐτὸν συγκαταδύνειν. Sequitur probatio.

Sub illis τισί, quos se refutasse et ad suam sententiam perduxisse ATTALUS gloriatur, latere Hipparchum qui et ipse Rhodi eodem tempore floruit duabus de

causis existimo: primum quia Hipparchus illud de Scorpio placitum ab Attalo improbatum probari sibi hoc ipso fragmento aperuit, deinde quia alibi nusquam cum tanta acerbitate et verborum etiam copia cavillatus Attalum tandem ad argumenta e re petita processit: unde lacessitum disputationibus cum Attalo de Phaenomenis habitis Hipparchum opus quod superest Arateum condidisse intellegitur. Porro ex l. 11 discipulum cui Aratea sua Attalus inscripserat tali coram aliis disputandi occasioni, sive convivalis sive alia fuit, adfuisse patescit (cf. caput IV). Quae certamina Rhodi cum fierent, ne Hipparchus quidem ignobilis erat astronomus: nam p. 1077 B ad τὰς καθόλου ἡμῖν συντεταγμένας πραγματείας astronomicas provocavit.

[2] βοώτου scripsi: βοώτεω LV || [9] μέν φασιν V: φασὶ μὲν L || εἶτα scripsi: εἶτα ἐν L, εἶτ' ἐν V || [11] ὑδροχόον V: ὑδριχόον L || [12] μετατιθεμένοις V: μεταθεμένοις L || [13] ὅλος L: ὅλως V || [14] ὅτ' ἂν L || [15] αὐτῷ V: αὐτοῦ L || ὑπάρχῃ scripsi, ὑπάρχων Petavius: ὑπάρχον L, ὑπαρ scripto χ supra ρ V || [16] ὦσιν V: εἰσιν L || [19] supplevi

25. Virginis ortus

Hipparch. II c. 9 p. 1077 D (p. 219 P.) τῆς δὲ Παρθένου ἀρχομένης ἀνατέλλειν (v. 597—606)

„Λύρη τότε“ φησὶ „Κυλληναίη
καὶ Δελφὶς δύνουσι καὶ εὐποίητος Ὀιστός.
σὺν τοῖς δ' Ὄρνιθος πρῶτα πτερὰ μέχρι παρ' αὐτὴν 5
οὐρὴν καὶ Ποταμοῖο παρηορίαι σκιόωνται·
δύνει δ' Ἱππείη κεφαλή, δύνει δὲ καὶ αὐχήν·
ἀντέλλει δ' Ὕδρη μὲν ἐπὶ πλέον ἄχρι παρ' αὐτὸν
Κρητῆρα· φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους
ἕλκων ἐξόπιθεν πρύμναν πολυτειρέος Ἀργοῦς. 10
ἡ δὲ θέει γαίης ἱστὸν διχόωσα κατ' αὐτόν,
Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται.“

τῷ δὲ Ἀράτῳ τὰ αὐτὰ καὶ ὁ Εὔδοξος λέγει . . . ὁ μέντοι γε ἌΤΤΑΛΟΣ οὐ δυνάμενος κρατῆσαι τῆς διανοίας τοῦ ποιητοῦ ἀλλ' ὑπολαβὼν λέγειν αὐτόν, τῆς Παρθένου μελλούσης ἀνατέλλειν ὅτι ἡ πρύμνα ἀνατέταλκεν ἕως μέσου τοῦ ἱστοῦ, φησὶ τὸ „ἅπασα“ τῷ ἐσχάτῳ 15 στίχῳ κενῶς προσκεῖσθαι· ἐκθέμενος γὰρ τῶν προειρημένων στίχων τοὺς ἐσχάτους ἐπιφέρει ταυτί·

ἐν δὲ τούτοις τὸ „ἅπασα“ προσαναπληρώματος ἔχει τάξιν· εἴτε γὰρ ἐπὶ τὴν Ἀργὼ μεταβιβάσειέ τις αὐτὸ ποιῶν τὸν λόγον τοιοῦτον 'ἡ δὲ πᾶσα θέει γαίης ἱστὸν διχόωσα κατ' αὐτόν, Παρθένος ἦμος περαιόθεν ἄρτι γένηται', ὁμολογου- 20 μένως ἀναπληρώματος ἔχει τάξιν· εἴτ' ἐπὶ τῆς Παρθένου, τὸ αὐτὸ συμβήσεται, ἐὰν μή τις δέξηται, ὅτι ὅλην φησὶ τὴν Παρθένον ἀνατεταλκέναι· ὅπερ οὐ

βούλεται λέγειν· εἰ γὰρ ἡ Παρθένος ὅλη ἀνατέταλκε, δῆλον ὅτι αἱ Χηλαὶ πρὸς τῷ ἀνατέλλειν εἰσίν. κατὰ δὲ τοῦτον τὸν καιρὸν ὅλην φησὶ τὴν Ἀργὼ
25 ἀνατεταλκέναι λέγων οὕτως (v. 607 610)·

„οὐδ' ἂν ἐπερχόμεναι Χηλαὶ καὶ λεπτὰ φάουσαι
ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης
ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.
Ἀργὼ δ' εὖ μάλα πᾶσα μετήορος ἵσταται ἤδη".

30 δοκεῖ οὖν μοι πεπλανῆσθαι ὁ ἌΤΤΑΛΟΣ οὐ συνιείς, ὅτι ἐπιθέτως λέγεται ὑπὸ τοῦ ποιητοῦ τὸ „ἱστὸν διχόωσα κατ' αὐτόν" (v. 605) καὶ οὐχ, ὅτι ἀνατέλλει ἕως μέσου τοῦ ἱστοῦ· ὁ γὰρ ἑξῆς λόγος ἐστὶ τοιοῦτος· τῆς Παρθένου ἀρχομένης ἀνατέλλειν ὅ τε Κύων ἀνατέταλκε καὶ ἡ πρύμνα τῆς Ἀργοῦς· αὕτη μέντοι ἡμίσεια οὖσα ἕως τοῦ ἱστοῦ ἀναφέρεται, ἕως ἂν ὅλη ἡ Παρθένος ἀνατείλῃ.

[3] κυληναίη L Marcianus Arati, κυλήνη V || [5] δ' post τοῖς om. L Marcianus Arati: add. V || μέχρι LV: μέσφα Marcianus Arati || [10] πρύμναν etiam Marcianus Arati || [11] θαίει Marcianus Arati || [13] ὁ prius V: om. L || [15] φησὶ V: φησὶν L || ἅπασα corr. Victorius: ἅπασαν LV || [16] κενῶς L: καινῶς V || ρ' post ἐσχάτους LV: omisi || [18] προσαναπληρώματος L: πρὸς ἀναπληρώματος V || [19] μεταβιβάσειε L: - εν V || [21] ἀναπληρώματος V: ἄρα πληρώματος L || [22] οὐ V: om. L || [23] ἀνατέταλκε V: - εν L || [29] εὖ L paraphrasis l. 24 Germanicus v. 623 Avienus v. 1133 s. Hyginus Astr. IV 12 p. 110 (Bunte), de quibus cf. *Herm.* XIX p. 115 s.: οὐ V Marcianus Arati cum scholiasta, cf. *Herm.* l. c. || ἵσταται LV: ἔσσεται Marcianus Arati || [32] γὰρ scripsi: τε LV || [33] αὕτη scripsi: αὐτὴ LV

23. Cephei occasus

Hipparch. I c. 17 p. 1037 B (p. 193 P.) χωρὶς δὲ τῶν εἰρημένων ἀμφότεροι ἀγνοοῦσιν ὅ τε Ἄρατος καὶ ὁ ἌΤΤΑΛΟΣ συναποφαινόμενος αὐτῷ, διότι δύνει ὁ Κηφεὺς τῇ ζώνῃ (v. 650—652)·

„γαῖαν ἐπιξύει, τὰ μὲν εἰς κεφαλὴν μάλα πάντα
5 βάπτων Ὠκεανοῖο, τὰ δ' οὐ θέμις, ἀλλὰ τά γ' αὐταί
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν."

ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις οὐχ ἕως τῆς ζώνης δύνει ὁ Κηφεύς, ἀλλ' οὐδὲ ἕως τῶν ὤμων· οἱ γὰρ ἐν τῇ κεφαλῇ αὐτοῦ κείμενοι ἀστέρες μόνον δύνουσιν, οἱ δὲ ὦμοι ἐν τῷ ἀεὶ φανερῷ τμήματι φέρονται οὔτε δύνοντες οὔτε ἀνατέλλοντες. Sequitur probatio
10 Hipparchi.

Ut Attalus ita scholiasta Arati Marcianus Arateam descriptionem sequitur.

[4] ἐπιξύει V Marcianus Arati: ἐπιξύων L || [5] ἀλλὰ τά γ' αὐταί Marcianus Arati: ἄστατος αὐτόν L, ἄλλα τά τ' αὐτά V || [7] τοῖς L: om. V || οὐχ ἕως L: οὐχ οἷον ὡς V || [9] δύνοντες L: δύνοντε^{α}ς V

27. Aquarii ortus

Hipparch. II c. 14 p. 1085 (p. 224 P.) παρέχει δέ τισιν ἐπίστασιν, πῶς ἐπὶ τῶν ἄλλων ζῳδίων ὁ Ἄρατος τὰς ἀρχὰς ἐπὶ τῆς ἀνατολῆς ὑποτιθέμενος καὶ οὕτω τὰς τῶν ἄλλων ἄστρων ἀνατολὰς καὶ δύσεις διασαφῶν τὸν Ὑδροχόον μέσον ἀνατέλλειν ὑποτίθεται, λέγων οὕτως (v. 693,4)·

„Ἵππος δ' Ὑδροχόοιο μέσον περιτελλομένοιο 5
ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται."

τούτου δ' ἀπορουμένου ὁ ἈΤΤΑΛΟΣ φησιν ἁμάρτημα εἶναι, δεῖν δὲ γράφειν οὕτως·

„Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο."

λανθάνει δὲ τόν τε ἌΤΤΑΛΟΝ καὶ τοὺς ἄλλους τὸ βούλημα τοῦ ποιητοῦ, τάχα δὲ καὶ τὸ φαινόμενον· ὁ γὰρ Ὑδροχόος τῇ θέσει κείμενος ἀπὸ μεσημβρίας πρὸς Ἄρκτους τὰ μὲν 10 κατὰ τὸ στῆθος καὶ τὴν κεφαλὴν μέρη πολὺ ἐκπίπτοντα τοῦ ζῳδιακοῦ κύκλου εἰς τὸ πρὸς Ἄρκτους μέρος, τὰ δὲ κατὰ τοὺς πόδας νοτιώτερα ἔχει τοῦ ζῳδιακοῦ κύκλου· ἐν δὲ τῷ ζῳδιακῷ τὰ μέσα αὐτοῦ κεῖται. ἐπεὶ οὖν τὰ δωδεκατημόρια τοῦ ζῳδιακοῦ κύκλου ὑποτίθεται ἀναφερόμενα, διὰ τοῦτο ὁ Ἄρατος λέγει 'τοῦ Ὑδροχόου κατὰ μέσον τοῦ σώματος ἀνατέλλοντος ὁ Ἵππος ποσί τε καὶ κεφαλῇ ἀνελίσσεται' καὶ οὐχὶ τὸ μέσον τοῦ 15 ἐν τῷ δωδεκατημορίῳ μήκους, ὡς οἵ τε πολλοὶ καὶ ὁ ἌΤΤΑΛΟΣ ἐκδέχεται. ἀναγκαῖον οὖν εἶναι δοκεῖ μοι μὴ μετατιθέναι τὸν στίχον, ὡς ὁ ἌΤΤΑΛΟΣ ὑποδεικνύει, ἐν πᾶσί γε δὴ τοῖς ἀντιγράφοις οὕτως αὐτοῦ γραφομένου.

Marcianus Arati liber et textu et scholio Attali coniecturam propagat, cf. *Herm.* l. c. 20

[3] ὑδροχόον V: ὑδριχόον L ‖ [5] ὑδροχόοιο V: ὑδριχόοιο L Marcianus Arati ‖ [6] κεφαλῇ Marcianus Arati ‖ [7] τούτου δ' ἀπορουμένου V: τοῦτο δ' ἀπορῶν L ‖ [8] ὑδροχόοιο V: ὑδριχόοιο L ‖ νέον etiam Marcianus Arati cum scholiasta, cf. *Herm.* XIX p. 102 et 110 ‖ [10] ὑδροχόος V: ὑδριχόος L ‖ [12] ἄρκτους L: ἄρκτον V ‖ ἔχει hoc loco V: post μέρος L ‖ [14] ὑδροχόου V: ὑδριχόου L ‖ [16] πολλοὶ V: παλαιοὶ L ‖ [17] μὴ μετατιθέναι L: μετὰ τὸ τιθέναι V

28. Arietis ortus

Hipparch. II c. 16 p. 1088 D (p. 225 P.) περὶ δὲ τῆς τοῦ Κριοῦ ἀνατολῆς ὁ Ἄρατος λέγων 'τὰ μὲν δεξιά' φησι 'τῆς Ἀνδρομέδας οἱ Ἰχθύες' (v. 707—713)

„αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
Κριὸς ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
ἑσπερόθεν κεν ἴδοιο Θυτήριον, αὐτὰρ ἐν ἄλλῃ 5
Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους.
αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλοιτο
ἢ Κριῷ λήγοντι φαείνεται ἢ ἐπὶ Ταύρῳ."

γράφεται μὲν οὕτως ὁ ἔσχατος στίχος· εἰκὸς μέντοι γε ἠγνοῆσθαι τὸ „λήγοντι"· ἐξ ἀρχῆς γὰρ πάντων τῶν ζῳδίων τὰς ἀρχὰς ἐπὶ τῆς ἀνατολῆς ὑποτίθεται καὶ οὐχὶ μεσοῦντα ἢ 10

λήγοντα· ἐπὶ γὰρ τῶν ἄλλων ἄστρων τινὰ μὲν μέρη μεσούντων τῶν ζῳδίων τινὰ δ' ἀρχομένων ἢ ληγόντων δύνει ἢ ἀνατέλλει. ὅθεν καὶ ὁ ἈΤΤΑΛΟΣ κατὰ μὲν τοῦτο ὀρθῶς συνεώρακε τὸ ἀγνόημα — καὶ δεῖ τοι ἤ, ὡς ἐκεῖνός φησι, γράφεσθαι

„ἢ Κριῷ ἀνιόντι φαείνεται ἢ ἐπὶ Ταύρῳ"

15 ἢ νὴ Δία οὕτως

„ἢ Κριῷ λήγουσα φαείνεται"

ὥστε τὸ „λήγουσα" ἐπὶ τὴν ζώνην ἀναφέρεσθαι — λέληθε μέντοι γε αὐτὸν τὸ βούλημα τοῦ ποιητοῦ καὶ ἐν τούτοις· λέγει γὰρ οὕτως·

> ἡμεῖς μέντοι καὶ ἐπὶ τούτῳ τῷ τε ποιητῇ συμφώνως καὶ τοῖς φαινομένοις
> 20 ἀκολούθως οἰόμεθα δεῖν γράφεσθαι τὸ ποίημα τὸν τρόπον τοῦτον (v. 712—714)·
>
> „αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλονται
> ἢ Κριῷ ἀνιόντι φαείνεται ἢ ἐπὶ Ταύρῳ.
> σὺν τῷ πασσυδίῃ ἀνελίσσεται."
>
> 25 ἐπεὶ γὰρ μέλλοντος μὲν τοῦ Κριοῦ ἀνατέλλειν ὁ Περσεὺς ὁμολογουμένως μέχρι τῶν ὤμων ἐκφανὴς γίνεται, ἅμα δὲ τῷ ἄρξασθαι ἀναφέρεσθαι τὸν Κριὸν εὐθέως ἔκδηλος ἡ τοῦ Περσέως ζώνη γίνεται, διὰ τὸ βραχὺ παντελῶς παραλλάσσειν τῆς τοῦ Κριοῦ ἀρχῆς τὴν φάσιν αὐτῆς διστάζει, πότερον κατὰ τὴν τοῦ Κριοῦ μέλλοντος ἀνατέλλειν ἀρχὴν ὑποθῆται φανερὰ<ν> ἤδη γίνεσθαι ἢ ἐπὶ τὸ μᾶλλον
> 30 ὁμολογούμενον ἔλθῃ, διότι τοῦ Ταύρου μέλλοντος ἀναφέρεσθαι ἐκφανής ἐστι τοῦ Περσέως ἡ ζώνη μετὰ τοῦ λοιποῦ σώματος. καὶ τοῦτον τὸν τρόπον γραφομένου τοῦ ποιήματος τά τε γραφόμενα σωθήσεται καὶ τὰ περὶ τῆς ζώνης ὁ ποιητὴς οὐ μόνον ἐμπείρως ἀλλὰ καὶ ἀκριβῶς ἐξηγούμενος ἂν φαίνοιτο.

πρῶτον μὲν οὖν διὰ τούτων ὁ ἈΤΤΑΛΟΣ ἀγνοεῖ, νομίζων ἐπὶ τοσοῦτον τὴν ἀκρίβειαν ἐν
35 τοῖς φαινομένοις ὑπὸ Ἀράτου διειλῆφθαι, ὥστε περὶ αὐτῶν τῶν ἐν τῇ ζώνῃ τοῦ Περσέως ἀστέρων διστάζει τὸ πότερον τῆς ἀρχῆς τοῦ Κριοῦ ἐπ' ἀνατολῆς οὔσης καὶ αὐτὴ ἤδη φανερά ἐστι σὺν τοῖς ὤμοις καὶ τῇ κεφαλῇ, ἢ μετ' ὀλίγον. χωρὶς γὰρ τοῦ ὁλοσχερῶς μὴ μόνον τὸν Ἄρατον ἀλλὰ καὶ τὸν Εὔδοξον ἐν τοῖς φαινομένοις ἀναστρέφεσθαι, καθάπερ ἐπιδεδείχαμεν, ἔτι καὶ οὐ μόνον ἐπὶ τῆς τοῦ Περσέως ζώνης τοῦτ' ἂν παρὰ τῷ Ἀράτῳ διστάζοιτο
40 ἀλλὰ καὶ ἐπὶ πάντων <τῶν> β' ἢ καὶ πλείοσι ζῳδίοις συνανατελλόντων.

τέλος δ' ἀγνοεῖν δόξειεν ἂν ὁ ἈΤΤΑΛΟΣ καὶ τὰ φαινόμενα, ὑπολαμβάνων κατὰ ἀλήθειαν οὕτως εἶναι διστάζόμενα <τὰ> περὶ τὴν ζώνην τοῦ Περσέως, καθάπερ προείρηκεν· οὐ γὰρ μόνον ἡ ζώνη τοῦ Περσέως φαίνεται ὑπὲρ γῆς τοῦ Κριοῦ ἀρχομένου ἀνατέλλειν ἀλλὰ καὶ ὅλος σχεδὸν ὁ Περσεὺς πλὴν τοῦ ἀριστεροῦ ποδὸς καὶ τοῦ γόνατος. Se-
45 quitur probatio Hipparchi; deinde pergit: δῆλον οὖν, ὅτι ἀγνοεῖ λέγων τά τε φαινόμενα

σωθήσεσθαι καὶ τὸν Ἄρατον ἐμπείρως καὶ ἀκριβῶς τὰ περὶ τῆς τοῦ Περσέως ζώνης φανεῖσθαι ἐξηγούμενον.

δοκεῖ δέ μοι διηπορῆσθαι ὁ Ἄρατος παρὰ τὴν αὐτὴν αἰτίαν παρ' ἣν καὶ Εὔδοξος,
ᾧ κατηκολούθηκεν ὁ Ἄρατος· ἐν μὲν γὰρ τῷ συντάγματι τῷ περὶ τῶν Φαινομένων γρά-
φει, ὅτι τοῖς Ἰχθύσι συνανατέλλει τὰ δεξιὰ τοῦ Περσέως, ὥστε τῆς ἀρχῆς τοῦ Κριοῦ 50
πρὸς τῇ ἀνατολῇ οὔσης τὰ δεξιὰ μόνον τοῦ Περσέως μέρη κατ' αὐτὸν ὑπὲρ γῆς φαίνε-
σθαι, ἐν δὲ τῷ ἑτέρῳ συντάγματι, ὃ ἐπιγράφεται Ἔνοπτρον, τοῖς Ἰχθύσι φησὶν αὐτὸν ὅλον
πλὴν ὀλίγου συνανατέλλειν. ἐν πᾶσιν οὖν σχεδὸν τοῖς περὶ τὰς ἀνατολὰς τῶν ἄστρων
συμφωνούντων ἀλλήλοις τῶν δύο συνταγμάτων, περὶ δὲ τοῦ Περσέως διαφόρου τῆς ἀνα-
γραφῆς οὔσης, εὐλόγως ὁ Ἄρατος διαπορῶν ποίᾳ τις κατακολουθήσει ἀποφάσει, ἀμφήρισ- 55
τόν φησιν εἶναι καὶ διστάζομενον, πότερον καὶ ἡ ζώνη τοῦ Περσέως μετὰ τῶν ὤμων καὶ
τῆς κεφαλῆς τοῦ Κριοῦ ἀνατέλλοντος μετέωρος φαίνεται ἢ τοῦ Ταύρου ἀναφερομένου, ὡς
τὸ ἕτερον τῶν τοῦ Εὐδόξου συνταγμάτων περιέχει. οὐ παρὰ τὸ τῇ αἰσθήσει οὖν δύσκρι-
τον εἶναι διὰ μικρότητα τῆς διαφορᾶς, ὡς ὁ ἌΤΤΑΛΟΣ ὑπέλαβεν, ἀμφήριστόν φησιν
εἶναι, πότερον ἡ ζώνη τοῦ Περσέως ὑπὲρ γῆς ἤδη φαίνεται τῆς ἀρχῆς τοῦ Κριοῦ πρὸς τῷ 60
ὁρίζοντι οὔσης, ἢ ἀρχομένου ἤδη ἀνατέλλειν τοῦ Ταύρου τότε καὶ αὐτὴ ἀναφέρεται, ἀλλὰ
<παρὰ> τὸ μὴ ἔχειν εἰπεῖν διὰ τὸ ἑκατέρως παραδίδοσθαι.

διχῶς δὲ γραφομένου ἐν μὲν τισιν ἀντιγράφοις „καί κ' ἀμφήριστα πέλοιτο" ἐν
δέ τισι „καί κ' ἀμφήριστα πέλονται", δεῖ γράφειν „πέλοιτο" καὶ οὐχ, ὡς ὁ ἌΤΤΑΛΟΣ,
„πέλονται"· τῷ γὰρ ‚ἄν' συνδέσμῳ τὸ „πέλοιτο" καταλλήλως λέγεται· οὐδὲ γὰρ περισπᾶ- 65
σθαι δεῖ (scilicet τὸ „πέλοιτο") διὰ τὸ πληθυντικῶς ἐκφέρεσθαι τὸ „ἀμφήριστα"· σύνη-
θες γάρ ἐστι τὸ σχῆμα τοῦτο τῆς ἐκφορᾶς.

[2] τὰ μέν οἱ κατὰ δεξιὰ χειρὸς Marcianus Arati ‖ φησὶ V: φησὶν L ‖ [3] τάδ' Marcianus Arati ‖ νειόθεν ἕλκει V Marcianus Arati: εἴωθεν ἕλκειν L ‖ [4] ἀνερχόμενος V Marcianus Arati: ἀνελκόμενος L ‖ [5] ἐν V Marcianus Arati: om. L ‖ [6] Περσέος L Marcianus Arati: Περσέως V ‖ ἀντέλλοντος L Marcianus Arati: ἀνατέλλοντος V ‖ [7] αὐτὴ L Marcianus Arati: αὐτῇ V ‖ κ' ἀμφήριστα Marcianus Arati: καμφήριστα V, ἀμφήριστα L ‖ γένοιτο LV, at cf. l. 64 ‖ [8] λήγοντι etiam Marcianus Arati cf. *Herm.* XIX 103 ‖ [9] τὸ L: τῷ V ‖ [11] ἐπὶ γὰρ L: ἐπεὶ οὕτω γε καὶ V ‖ [12] ληγόντων LV²: γόντων V ‖ [17] λήγουσα L: λήγουσαν V ‖ [22] κ' ἀμφήριστα L: καμφήριστα V ‖ πέλοιτο LV ut Marcianus Arati: at cf. l. 64 ‖ [24] σὺν τῷ V: om. L ‖ [25] μὲν V: om. L ‖ [28] διστάζει L: διστάζειν V ‖ τὴν L: τὸν V ‖ [29] supplevit Petavius ‖ [33] ἂν φαίνοιτο V: ἀναφαίνοιτο L ‖ [34] ἀγνοεῖ corr. Petavius, cf. infra linea 45: ἀπορεῖ V, εἰ L ‖ [41] supplevi ‖ τέλος V: τελέως L ‖ ἂν scripsi: om. V, ὅτι L ‖ [43] μόνον V: μόνη L ‖ [51] τοῦ Περσέως μέρη V: μέρη τοῦ Περσέως L ‖ γῆν LV ut l. 43 et 60 ‖ [62] παραδίδοσθαι V: παραδεδόσθαι L ‖ [63] κ' ἀμφήριστα πέλοιτο corr. Petavius: καμφήστατο V, καμφίστατο L ‖ [64] καμφήριστα LV ‖ [65] ἂν V: om. L ‖ [65,6] περισπᾶσθαι corruptum videtur

Denique ,ἌΤΤΑΛΟΣ ὁ Ῥόδιος' quodam scriptorum astronomorum indiculo a me o codicibus Vaticanis graecis 191 et 381 *Herm.* XVI p. 385 odito iuxta alios Arati interpretes commemoratur: conferas de his etiam Wilamowitzii Antigonum p. 339 et Hauptii Opusc. III p. 360 sq. 29.

III.

A certis ad incerta transgredior. Discernendus enim a Rhodio is Attalus fortasse erit, quem de proverbiis scripsisse Hesychius s. v. Κορίνθιος ξένος mutilatis verbis ita tradidit:

> ἐπὶ τῶν τὰς λαταγὰς ῥιπτούντων, ἀπὸ τῆς παρ' Εὐριπίδῃ Σθενεβοίας τῷ Βελλεροφόντῃ ἐπιχευούσης· ὡς δὲ ἌΤΤΑΛΟΣ ἐν τῷ περὶ παροιμιῶν ἐπὶ τῶν . . . . διὰ κάλλος ὡς ὁ Βελλεροφόντης

item is, qui Iliadem enarravisse fertur. Cuius has reliquias inveni:

1. Schol. A T ad Iliadem 15. 444 ἰοδόκον] προπαροξυτόνως τινὲς ,τὸν δεχόμενον ἰούς', ξεινοδόκον δὲ τὸν ξενίζοντα παροξυτόνως ἢ τοὺς ξένους δοκεύοντα. <καὶ> ἌΤΤΑΛΟΣ δὲ παροξύνει.

2. Schol. T ib. 641 ἐκ πατρὸς — χείρονος υἱὸς ἀμείνων] οὐ κεκράτηκε τῆς φράσεως (Homerus), ὥς φησιν ἌΤΤΑΛΟΣ· τὸν μὲν γὰρ λίαν ἐπαινεῖ, τὸν δὲ ἀποδοκιμάζει· ὥστε οὐκ ἔστιν ἐκ συγκρίσεως ὁ λόγος.

3. Schol. T ib. 651 ἀχνύμενοί περ <ἑταίρου>] λείπει ἡ περί. τινὲς δὲ Αἰολικῶς ,περὶ ἑταίρου' φασίν· ἀήθης δὲ ἡ τοιαύτη συναλοιφὴ τῷ Ὁμήρῳ (hucusque etiam A). ἌΤΤΑΛΟΣ δὲ συγκοπήν φησιν, ὡς ἐν τῷ „πὰρ Ζηνί" (Il. 4. 1).

4. Etym. M. s. v. μῆλα] τὰ πρόβατα· οἱ μὲν ἀπὸ τοῦ μηκᾶσθαι, ὅπερ ἀνάρμοστον· ἄλλοι δὲ ἀπὸ τοῦ μηλώδη καρπὸν ἔδεσθαι· ἌΤΤΑΛΟΣ δὲ παρὰ τὸν μαλλόν. ἐγὼ δέ φημι, ὅτι μᾶλλον ἀπὸ τοῦ μῆλα ὁ μαλλὸς εἴρηται.

IV.

Reversus ad Aratea complectar quae ad noscenda haec Attali studia ex nostra fragmentorum sylloga redundent. Igitur et editionem criticam poetae et simul commentarium promulgavit discipulo cuidam inscripta (fr. 1 et 24). Illud vero his libris consilium persecutus est, ut Aratum in Phaenomenis scientia astronomica excellere explicando textu et conformando probaret. Itaque hic illic coniecturas expulsis genuinis cectionibus introduxit et genuinas prava interpretatione frequenter tutatus est, rarius erroris poetam incusavit (cf. ad fr. 1 l. 7). Quae cum essent ita, exstitit cui Attali Aratea debemus omnia Hipparchus ut refutaret, eruntque fortasse qui hac Hipparchi

refutatione commoti dignum ATTALUM opinentur qui in tenebras reiciatur. Ego sentio aliter et cum Iohanne Henrico Vossio facio qui passim per commentarium ut Arato ipsi ita ATTALO Hipparchi crisin nimis acerbam et iniquam fuisse adnotavit: quae compilare nolo. Quibus demptis permulta tamen superesse ATTALI errata Hipparcho concedendum est. Agnoscimus haec et ex coeli cognitione incerta aut e criticae facultatis quadam inopia eo facilius explicamus, quod in aliis scriptoribus vel philologos multo ATTALO celebriores persimiliter deliquisse exploratum est. Illud autem magni aestimamus, quod nunc luculento ATTALI exemplo Rhodi Aristarchi et Cratetis aetate intelleximus fuisse, qui, etsi astronomiam et mathematicam profiteretur et his artibus alios institueret (fr. 24), nihilo minus in grammatica quoque esset adeo versatus, ut emendandi et enarrandi Arati exsequendum negotium in se reciperet. Novo testimonio apertum est cognatione quadam ceteras litteras cum arte nostra contineri.

Gryphiae, Non. Ian.

I. SCHOLAE THEOLOGORUM.

1) PROFESSORUM ORDINARIORUM.

D. H. CREMER, P. P. O., DEC.

I) Publice 1) seminarii theol. exercitationes ad theologiam dogmaticam spectantes moderabitur d. Mart. h. VI et VII; 2) exercitationes homileticas moderari perget d. Ven. hor. VI et VII. — II) Privatim 1) ethicen christianam docebit quinquiens per hebd. hor. X et semel d. Merc. hor. XI; 2) prolegomena theologiae dogmaticae tradet bis per hebd. dieb. Lun. et Iov. hor. III; 3) pericopas ecclesiasticas ex evangeliis desumptas interpretabitur quater hor. XI.

D. O. ZOECKLER, P. P. O.

I) Publice seminarii theologici exercitationes ad historiam ecclesiasticam pertinentes moderari perget die Lun. h. VI et VII. — II) Privatim 1) historiae ecclesiasticae partem tertiam s. hist. ecclesiae temporum recentiorum tradet sexiens p. h. hor. IX; 2) encyclopaediam et methodologiam studii theologici docebit dieb. Mart. Iov. Ven. hor. X; 3) historiam aetatis apostolicae enarrabit dieb. Lun. et Merc. hor. X et die Sat. hor. X et XI.

D. ER. HAUPT, P. P. O.

I) Publice seminarii theologici exercitationes ad interpretationem Novi Testamenti pertinentes moderari perget singulis diebus Iov. h. VI et VII. — II) Privatim 1) vitam Jesu Christi enarrabit quinquiens p. h. hor. VIII; 2) epistulam Pauli ad Romanos datam interpretabitur quinquiens h. VII; 3) parabolas Jesu Christi explicabit die Saturni h. VII et VIII.

D. C. BREDENKAMP, P. P. O.

I) Publice seminarii theologici exercitationes ad Vet. Test. spectantes moderabitur die Merc. h. VI et VII. — II) Privatim 1) librum Geneseos interpretabitur quinquiens p. h. hor. VII; 2) theologiam Veteris Testamenti tradet quinquiens p. h. hor. XII.

